XLI (47). *Τοὺς δὲ πελεκᾶνας τὰς ἐλείας κόγχας καταπίνειν ἱστορεῖ, ἔπειτα ὀλίγον κατασχόντας ἐν τῷ ἄνω τῆς κοιλίας ἐξεμεῖν κεχηνυίας, εἶτα οὕτω τὰ κρέα ἐξαιροῦντας ἐσθίειν.*

XLII (48). *Γυπὸς δὲ λέγεται ὑπό τινων ὅτι οὐδεὶς ἑόρακε νεοττὸν οὐδὲ νεοττείαν· διὸ καὶ Ἡρόδωρον τὸν Βρύσωνος τοῦ σοφιστοῦ πατέρα ἀπό*

10. ᾠά et ἐπῳάζῃ] cf. ann. Austr. p. 121. | 19. τι om. cod., add. W. ex Aristotele. | 20. θηλείας cod. λείας Bochart ἐλείας nos, ann. Austr. p. 122. | 21. ὀλίγας cod. | 24. in mg. cod. manu admodum recente haec adnot.: *σημειωτέον, ὅτι περὶ τούτων εἰς τὴν ἑξαήμερον φησὶν ὁ μέγας Βασίλειος, οὐς γε καὶ ἀσυνδυάστως φασὶν ὡς τὰ πολλὰ τίκτεσθαι.*

τινος αὐτοὺς ἑτέρας φάναι γης εἶναι μετεώρου. τίκτειν δ' οὖν ἐν ἀπροσβάτοις πέτραις.

XLIII (49). Λέγειν δέ τινας καὶ τὸ κινναμωμον ὄρνεον εἶναι καὶ τὰ ἀρώματα φέρειν καὶ τὰς νεοττείας ἐκ τούτου ποιεῖσθαι, νεοττεύειν δ' ἐφ' ὑψηλῶν δένδρων καὶ ἀβάτων, τοὺς δὲ ἐγχωρίους μόλιβδον τοῖς ὀΐστοῖς προστιθέντας τοξεύειν καὶ καταρρηγνύειν τὰς νεοττείας.

XLIV (50). Τὸν δὲ κόκκυγα δοκεῖν ὑποβολιμαίους τοὺς νεοττοὺς ποιεῖν διὰ τὸ δειλὸν εἶναι καὶ μὴ δύνασθαι ἀμύνειν· τίλλεσθαι γὰρ ὑπὸ τῶν ἐλαχίστων. τὰ δὲ ὑποδεξάμενα τῶν ὀρνέων ἐκβάλλειν τοὺς ἑαυτῶν νεοττοὺς διὰ τὸ καλὸν εἶναι τὸν τοῦ κόκκυγος.

XLV (51). Τὸν δὲ αἴγιθον αἶγα θηλάζειν προσπετόμενον, ὅθεν καὶ τὴν προσηγορίαν εἰληφέναι· τὸν δὲ μαστόν, ὅθεν ἂν ἑλκύσῃ, ... ἀποτυφλοῦσθαι. ἔστι δὲ χωλὸν τὸ ὄρνεον, ὅθεν καὶ Καλλίμαχος ὁ ἔκ που Αἰγύπτου περίτρανος εἶναι βουλόμενος ἔφησεν προείπας ὑπὲρ ἄλλου τινὸς ὀρνέου·

'αἴγιθος ἀμφιγυήεις.'

οὐ σώζεται οὖν αὐτῷ ὁ λόγος· ἔστι γὰρ οὐκ ἀμφότερα χωλόν. τὸ δ' ἀμφιγυήεις οὐ τοιοῦτον, ἀλλ' ὡς ἐπὶ τοῦ Ἡφαίστου εἴρηται, ὅταν ἑκατέρους ᾖ κεχωλωμένος. περὶ μὲν οὖν τοῦ Καλλιμάχου διὰ τὸ ἀπίθανον προήχθημεν εἰπεῖν.

2. ἔνια πρὸς ἀβάτοις cod. et editores ante nos, ἐν ἀπροσβάτοις nos ex Aristotele: 'τούτου δ' αἴτιον ὅτι τίκτει ἐν πέτραις ἀπροσβάτοις'. | 3. haec in mg.: σημειοῦ περὶ κινναμώμου. | 7. μόλιβδον cf. ann. Austr. p. 122. | 17. cf. Aristoteles hist. an. IX 30, 109. | 19. ἐκ τοῦ Αἰγύπτου cod. ἐκ τοῦ Μουσείου Meineke. ἐκ τῆς Αἰγύπτου Bentley. ἔκ που Αἰγύπτου O. Schneider.

XLVI (52). Ὁ δὲ Ἀριστοτέλης φησὶν τῷ ἐτῷ γηράσκοντι τὸ ῥύγχος αὐξάνεσθαι καὶ γαμψοῦσθαι καὶ τέλος ἀποθνήσκειν λιμῷ. τὴν φήνην δὲ τοὺς ἐκβληθέντας τῶν νεοττῶν ὑπὸ τοῦ ἀετοῦ λαμβάνειν καὶ ἐκτρέφειν. τὸν δὲ ⟨ἅλι⟩αίετον ἐπαναγκάζειν τὰ τέκνα ἔτι ψιλὰ ὄντα πρὸς τὸν ἥλιον βλέπειν, τὸ δὲ δακρύον αὐτῶν καὶ μὴ θέλον ἀντοφθαλμεῖν ἀποκτείνειν.

XLVII. Τῶν ἰχθύων δὲ τὸν ἁλιέα καλούμενον βάτραχον θηρεύειν τὰ ἰχθύδια τοῖς ἀπὸ τῶν ὀφθαλμῶν ἀποκρεμαμένοις, ὧν τὸ μὲν μῆκός ἐστιν τριχοειδές, ἐπ' ἄκρου δὲ προσκείμενον ὥσπερ δέλεαρ στρογγύλον· ταῦτ' οὖν κρύψαντα ἑαυτὸν προτείνειν.

XLVIII (53). Τὴν δὲ νάρκην καθαμμίσασαν ἑαυτὴν τὰ μὴ δυνάμενα τῶν ἰχθύων, ὅταν σύνεγγυς ᾖ, κολυμβᾶν διὰ τὴν νάρκησιν συλλαμβάνειν.

XLIX (54). Τὰς δὲ καλουμένας ἀλώπεκας, ὅταν αἴσθωνται ὅτι τὸ ἄγκιστρον καταπεπώκασιν, ἀναδραμούσας ἄνωθεν τῆς ὁρμιᾶς ἀποτρώγειν.

L (55). Τὸν δὲ πολύποδα κατατίθεσθαι τροφὴν εἰς τὰς θαλάμας, καὶ ὅταν τὰ χρήσιμα ἀναλώσῃ, τὰ ἀχρεῖα ἐκβάλλειν, καὶ τὰ συνερχόμενα τῶν ἰχθυδίων ἐπὶ τὰ ἐκβεβλημένα θηρεύειν, ποιοῦντα τὸ χρῶμα παραπλήσιον οἷς ἂν ἐγγὺς ᾖ λίθοις· καὶ ὅταν φοβηθῇ δὲ τοῦτο ποιεῖν αὐτόν.

2. αὐξάνεσθαι B. ex Aristotele. αὐαίνεσθαι cod. | 5. ἀιετὸν cod. | 12. τροχοειδὲς cod. | 13. τοῦτ' cod. | 15. καθαλμίσασαν cod., corr. Niclas. | 17. νάρκησίν τε, συλλαμβάνειν cod. | 24. ποιουνται δέ B. ποιεῖσθαι Locella.

LI (56). Ἰδὲ καὶ τὸν ναυτίλον πολύποδα οἷς ποιεῖ περιττόν· ἔχει μὲν γὰρ ὄστρακον, ὃ καταστρέψας ἀναφέρεται, ἵνα ῥᾴδιον ἀνενεχθῇ κενόν· ἄνωθεν δὲ γενόμενον μεταστρέφειν· ἔχειν δὲ μεταξὺ τῶν πλεκτανῶν ἐπί τι συνεχὲς οἷον ὑμένα καὶ τούτῳ ὅταν πνευμάτιον ᾖ ὥσπερ ἱστίῳ χρῆσθαι, ἀντὶ πηδαλίων δὲ ⟨δύο⟩ παρακαθιέναι τῶν πλεκτανῶν.

LII (57). Τὰς δὲ μελίττας θυμιωμένας ὑπὸ τοῦ καπνοῦ καὶ κακοπαθούσας τότε μάλιστα μέλι ἐσθίειν, τὸν δὲ λοιπὸν χρόνον φείδεσθαι, ὡς τροφῆς χάριν ἀποτιθεμένας. τοῖς ἀπὸ τῶν δένδρων δὲ δακρύοις διαχρίειν τὸ σμῆνος τῶν ἄλλων ἕνεκεν θηρίων· ἃς δὲ ἂν ἀποκτείνωσιν αἱ χρηστὰι μέλιτται, πειρᾶσθαι μὲν αὐτὰς ἔξω τοῦτο ποιεῖν· ἐὰν δὲ ἔσω τοῦ σμήνους ἀποκτείνωσιν ἐκφέρειν. τοὺς δὲ φῶρας καλουμένους κακουργεῖν, ἐὰν λάθωσιν παρεισελθόντες· εἰσέρχονται δὲ σπανίως· τηρεῖσθαι γὰρ αὐτοὺς καὶ ἐπὶ πασῶν φύλακας εἶναι. εἶναι δὲ αὐτὰς τεταγμένας ἐφ' ἑκάστῳ τῶν ἔργων, καὶ τὰς μὲν ἀνθοφορεῖν, τὰς δὲ κατορθοῦν τὰ κηρία. δυσχεραίνειν δ' αὐτὰς καὶ τῇ δυσωδίᾳ τῆς τροφῆς καὶ τῷ μύρῳ, καὶ τὸ περίττωμα δὲ ἔξω ἀφιέναι. καὶ τὰς μὲν πρεσβυτέρας εἴσω ἐργάζεσθαι. σφῆκα δ' ἂν λάβῃ τις τῶν σκελῶν καὶ τοῖς πτεροῖς ἐᾷ βομ-

3. ἀναφέρεται] ἄνω φέρεται Meursius — κενόν] κάινόν· cod. | 7. δύο add. Schneider. | 9. μὲν ÷ cod. μέλι Schneider ex Aristotele (*MEN* = *ΜΕΛΙ*). | 12. δεῖ χρι/ει/ν cod. post rasuram, antea fuerat δια pro δεῖ. | 13. ἀποκτείνωσιν cod., sed ω in ras. fort. supra ον. | 19. ἐφ' ἑκά — στωι cod., ἐφ' ἕκαστον Aristot. | 20. δυσχε/ραίνειν cod. | 23. πρεσβυτέρας cod. | 24. πτεροῖς — φησιν] προτέροισαφομβαι, προπέτεσθαι ÷ φησιν cod., emend. Meursius ex Aristotele.

βεῖν, προσπέτεσθαί φησιν τοὺς ἀκέντρους, τῶν δ' ἐχόντων τὸ κέντρον οὐδένα.

LIII (58). Τὸν δὲ μόνωπον γίνεσθαι μέν φασιν ἐν Παιονίᾳ ἐν τῷ ὄρει Μαρσάνῳ, ὀδόντας δὲ τοὺς ἄνωθεν οὐκ ἔχειν, ὥσπερ βοῦν, οὐδ' ἄλλο τῶν δικεράτων οὐδέν, καὶ τἆλλα προσεμφερὲς εἶναι τῷ ταύρῳ. διωκόμενον δὲ προσαφοδεύειν πόρρωθεν, καὶ τὴν κόπρον, ὅταν πεφοβημένος τοῦτο ποιήσῃ, ἐπικάειν οὕτως ὥστε τὰς τρίχας ἀπορρεῖν τῶν κυνῶν· ἂν δ' ἄνευ φόβου τοῦτο ποιήσῃ, οὐδὲν πάσχειν οὐδὲ βλάπτεσθαι.

LIV. . . . ὃ δ' ἂν ὀχεύσῃ καὶ ἔγκυον ποιήσῃ, τούτου πάλιν οὐχ ἅπτεσθαι. (59) τῷ δὲ Σκυθῶν βασιλεῖ ἵππον φασὶ γενναίαν γενέσθαι· ταύτῃ τὸν ἐξ αὐτῆς γεννηθέντα πῶλον προσάγειν, ἵνα ὀχεύσῃ, τὸν δ' οὐ θέλειν· ὡς δὲ περικαλύψαντες προσήγαγον τὴν ἵππον ἀναβῆναι, ἀποκαλυφθείσης δὲ ἰδόντα τὸ πρόσωπον φεύγειν καὶ κατακρημνίσαι ἑαυτόν.

LV (60). Τῶν θαλαττίων δὲ ζῴων ἡμερώτατον εἶναι δελφῖνα· καὶ γὰρ πρὸς παῖδας ἐρωτικῶς ἔχειν, οἷον περὶ Τάραντα καὶ Καρίαν καὶ ἄλλους τόπους πολλούς. ἐν δὲ Καρίᾳ δεθέντος δελφῖνος καὶ τραύματα λαβόντος πολλὰ παραγενέσθαι πολλοὺς ἐπὶ βοήθειαν εἰς τὸν λιμένα, ἕως ἀφῆκεν ὁ ἁλιεύς.

LVI (61). Περὶ δὲ τοῦ τόκου τῶν λύκων μυθι-

3. μόνωπον nos in ann. Austr. p. 123 μόνωτον cod. μόναπον Aristoteles μόνωπα Aelianus. | 10. κυνῶν W. et Aristoteles κτηνῶν cod. | 12. principium sententiae excidisse probat W.: agitur enim de elephante. | 14. γενναῖον cod. γενναίαν Meursius. | 25. ἁλιεύς] Plinius in Aristotele legit βασιλεύς.

κόν τι τελείως διεξέρχεται καὶ ὅμοιός ἐστιν καὶ τῷ συνειδότι. φησὶν γὰρ αὐτοὺς ἅπαντας ἐν δεκαδύο ⟨ἡμέραις⟩ τοῦ ἐνιαυτοῦ τίκτειν, εἶναι δὲ τούτου αἴτιον, ὡς ὁ λόγος, ὅτι ἐν ιβ ἡμέραις τὴν Λητὼ παρεκόμισαν ἐξ Ὑπερβορέων εἰς Δῆλον λύκαιναν φαινομένην.

LVII (62). Τὴν δὲ γλαῦκα καὶ τὴν κορώνην πολεμίας εἶναι, τὴν μὲν κορώνην ⟨ὑφαρπάζειν τὰ ᾠὰ⟩ τῆς γλαυκὸς μεθ' ἡμέραν διὰ τὸ μὴ βλέπειν τὴν γλαῦκα, τὴν δὲ γλαῦκα τῆς κορώνης νύκτωρ διὰ τὸ τὴν κορώνην μὴ ὁρᾶν· διὸ καὶ κρατεῖν αὐτῶν τὴν μὲν νύκτωρ, τὴν δὲ μεθ' ἡμέραν.

LVIII (63). Καὶ τὸν ὄνον καὶ τὸν αἰγιθον πολεμεῖν ἑαυτοῖς· παριόντα γὰρ ξύεσθαι εἰς τὰς ἀκάνθας· διά τε οὖν τοῦτο καὶ ὅταν ὀγκήσηται, ἐκβάλλειν τὰ ᾠὰ τοῦ αἰγίθου καὶ τοὺς νεοττοὺς φοβουμένους ἐκπίπτειν· τὸν δὲ διὰ τὴν βλάβην ταύτην κολάπτειν τὰ ἕλκη αὐτοῦ ἐπιπετόμενον.

LIX (64). Καὶ τὸν αἰσάλωνα δὲ πολέμιον εἶναι τῇ ἀλώπεκι, τὸν δὲ κόρακα καὶ τὴν ἀλώπεκα φίλους· πολεμεῖν δὲ καὶ τὸν κόρακα τῷ αἰσάλωνι, διὸ καὶ τυπτομένῃ τῇ ἀλώπεκι βοηθεῖν.

LX (65). Τοὺς αἰπόλους δέ φησι λέγειν ὅτι, ὅταν τάχιστα ὁ ἥλιος τραπῇ, ἀντιβλέπουσαι αὐτῷ αἱ αἶγες κατάκεινται. (66). τούτῳ τι παραπλήσιον Λύκος ἱστορεῖ· φησὶ γὰρ ἐν Λιβύῃ τὰ κτήνη τὸν

3. ἡμέραις add. Meursius. | 8. ὑφαρπάζειν τὰ ᾠὰ addidimus ex Aristotele, cf. ann. Austr. p. 123. | 14. ξύεσθαι Meursius ex Aristotele λύεσθαι cod. | 15. ογκήσαιτο (sic) cod. | 16. τῆσ αἰγίθου cod. τοῦ Bast ex Aristotele. | 19. τὸν ÷ ÷ ἐσάλωνα cod. αἰσάλωνα Aristoteles et Aelianus cons. Plinio. | 21. ἐσάλωνι cod. | 23. δὲ, φασὶ cod. emend. Schneider.

μὲν ἄλλον χρόνον τὰ μὲν αὐτοῖς ἐναντία, τα δ' ὡς ἔτυχεν κοιμᾶσθαι, τῇ δὲ νυκτί, καθ' ἣν τοῦ κυνὸς ἀνατολὴ γίνεται, πρὸς αὐτὸ τὸ ἄστρον ἐστραμμένα, καὶ τούτῳ τεκμηρίῳ τῆς ἐπιτολῆς τοὺς ἐκεῖ χρῆσθαι. πλὴν ὅγε Ἀριστοτέλης χωρὶς τῆς περὶ τοὺς βίους τῶν ζῴων ἐντρεχείας καὶ τοιαῦτά τινα διεξέρχεται, πάνυ πολλὴν ἐπιμέλειαν πεποιημένος ἐν τοῖς πλείστοις αὐτῶν καὶ οἷον ἔργῳ, οὐ παρέργῳ χρώμενος τῇ περὶ τούτων ἐξηγήσει. τὰ γοῦν πάντα σχεδὸν ἑβδομήκοντα περὶ αὐτῶν καταβέβληται βιβλία, καὶ πεπείραται ἐξηγητικώτερον ἢ ἱστορικώτερον ἐν ἑκάστοις ἀναστρέφεσθαι, . . . πρὸς τὴν ἡμετέραν ἐκλογὴν ἐπιποιεῖν ἔκ τε τούτων τῶν προειρημένων αὐτῷ τὸ ξένον καὶ παράδοξον καὶ ⟨περὶ⟩ τῶν ἄλλων ἐπιδραμεῖν.

LXI (67). Λέγει γοῦν τὰ χερσαῖα πάντα ἀναπνεῖν, ὅσα πνεύμονα ἔχει, σφῆκας δὲ καὶ μελίσσας οὐκ ἀναπνεῖν.

LXII (68). Ὅσα τε κύστιν ἔχει πάντα καὶ κοιλίαν, ὅσα τε κοιλίαν ⟨οὐ⟩ πάντα καὶ κύστιν.

LXIII (69). Ἄναιμα δὲ εἶναι πολλὰ μὲν τῶν ζῴων, καθόλου δὲ ὅσα πλείους πόδας ἔχει τεττάρων.

11. mg.: σημειοῦ τὸ πλῆθος τῶν περὶ ζῴων Ἀριστοτέλους βιβλίων. | 14—16. πρὸς — ἐπιποιεῖν προηρημένων αὐτῶι τὸ ξένον καὶ παράδοξον ἔκ τε τούτων καὶ τῶν ἄλλων ἐπιδραμεῖν cod.; Leopardi coni.: ἐπιποιεῖ τῶν προειρημένων αὐτῷ (vel αὐτὸ) τὸ ξένον καὶ παράδοξον ἔκ τε τούτων B. et W. locum corruptum in medio reliquerunt. — προηρημένων cod. | 18. ἔχει paradox. Vatic. ἔχειν cod. | 19. ἀναπεῖν cod. | 21. οὐ add. W. ex Aristotele cons. paradoxogr. Vatic. | 23. πλείω cod. πλείους nos ex Aristotele cf. ann. Austr. p. 123 ceterum πλείω etiam paradoxogr. Vatic.

LXIV (70). *Ὅσα δὲ τρίχας ἔχει πάντα ζῳοτοκεῖν· οὐκ ἀντιστρέφει⟨ν⟩ δέ.*

LXV (71). *Πάντα τὰ ζῷα κινεῖν τὴν κάτω σιαγόνα πλὴν τοῦ ποταμίου κροκοδείλου· τοῦτον δὲ μόνον τὴν ἄνω.*

LXVI (72). *Ἐν Ἰλλυριοῖς εἶναι καὶ Παιονίᾳ μωνύχους ⟨ὗς⟩· μώνυχον δὲ καὶ δίκερων οὐδὲν ἑωρᾶσθαι, μονοκέρατα δὲ καὶ μώνυχα οἷον τὸν Ἰνδικὸν ὄνον· τοῦτον δὲ καὶ ἀστράγαλον τῶν μωνύχων ἔχειν ζῴων ⟨μόνον⟩.*

LXVII (73). *Τῆς δὲ γαλῆς οστοῦν εἶναι τὸ αἰδοῖον.*

LXVIII (74). *Τὸ δ' ἄρρεν τοῦ θήλεος πλείους ἔχειν ὀδόντας καὶ ἐν ἀνθρώποις καὶ [τοῖς] ἄλλοις ζῴοις.*

LXIX (75). *Τὴν δὲ τῶν ἵππων καρδίαν ὀστοῦν καὶ βοῶν δέ τινων.*

LXX (76). *Τῶν δ' ἐλάφων τοὺς ἀχαιΐνας καλουμένους δοκεῖν ἐν τῇ κέρκῳ τὴν χολὴν ἔχειν.*

LXXI (77). *Τοὺς δὲ ἰχθῦς οὐκ ἔχειν στόμαχον, διὸ καὶ τῶν μεγάλων, ἕτερον ὅταν διώκωσιν ἐλάττονα, προσπίπτειν τὴν κοιλίαν εἰς τὸ στόμα.*

LXXII (78). *Τοὺς δὲ ὄφεις πλευρὰς ἔχειν λ̄.*

2. *ἀντιστρέφει* cod. *ἀντιστρέφειν* nos cf. ann. Austr. p. 124. | 7. *μουνύχους· μούνυχον δὲ καὶ δίκερω* cod. — *ὗς* ex Aristotele add. Meursius. | 8. *μονοκέρωτά τε καὶ μωνυχαῖον τὸν* cod., in margine *σημειοῦ περὶ μονοκέρωτος.* — *μώνυχα οἷον* coni. W. | 10. *μόνον* nos add. ex Aristotele, ann. Austr. p. 124. | 18. in margine cod.: *ἀχαιΐναι ποιά περὶ* (*τις* corr. Bast.) *ἐλάφων ἡλικία.* | 19. *τῇ*] cf. ann. Austr. p. 124. | 21. *ἕτερον* cod. *ἕτερα* B. W. cf. ann. Austr. p. 124, *ἑνίοις* Köpke, verae codicis scripturae ignarus.

καὶ ὄμματα δὲ αὐτῶν ἐάν τις ἐκκεντήσῃ, καθάπερ τὰ τῶν χελιδόνων, πάλιν γίνεσθαι.

LXXIII (79). Τῶν δ' ἰχθύων τὸν σκάρον μόνον μηρυκάζειν.

LXXIV (80). Τοῦ δὲ λέοντος οὕτως εἶναι τὰ ὀστᾶ στερεὰ ὥστε πολλάκις κοπτομένων πῦρ ἐκλάμπειν.

LXXV (81). Ἐν Φρυγίᾳ δὲ βοῦς εἶναι, οἳ κινοῦσι τὰ κέρατα.

LXXVI (82). Τρίχας δὲ ἔχειν τῶν ζῴων ὅσα πεζὰ καὶ ζωοτόκα, φολίδας δὲ ὅσα πεζὰ καὶ ᾠοτόκα.

LXXVII (83). Ἤδη δέ τισιν κάμνουσιν πολιὰς γίγνεσθαι, ὑγιασθεῖσιν δὲ πάλιν μελαίνας.

LXXVIII (84). Τὸν δὲ ἐν τῇ Χαλκιδικῇ ποταμὸν τὸν ἐπὶ Θρᾴκης τὸν καλούμενον Κοχρύνναν πιόντα τὰ πρόβατα ἔχειν τὰ γεννώμενα μέλανα ποιεῖν. καὶ ἐν τῇ Ἀντανδρίᾳ δύο ποταμοὺς εἶναι, ὧν τὸν μὲν λευκά, τὸν δὲ μέλανα γεννᾶν. δοκεῖν δὲ καὶ τὸν Σκάμανδρον ξανθὰ ποιεῖν, διὸ καὶ τὸν ποιητὴν ἀντὶ Σκαμάνδρου Ξάνθον αὐτὸν προσαγορεύειν. καὶ ἐν τῇ Εὐβοίᾳ δὲ κατὰ τὴν Ἀττικὴν τὴν συνορίζουσαν τῇ Χαλκίδι δύο ποταμοί, Κέρων καὶ Νηλεύς, ὧν αἱ † γυναῖκες ἐὰν περὶ τὸ συλλαμβάνειν οὖσαι πίωσιν, ἐὰν μὲν ἀπὸ ποταμοῦ Κέρωνος, μέλανα τίκτουσιν, ἐὰν δὲ ἀπὸ τοῦ Νηλέως, λευκά.

LXXIX (85). Τοὺς δὲ μύρμηκάς φησιν ὑπὸ

3. τὸν σκάρον μόνον] τογκληρομόνον cod., corr. Meursius. | 4. μὴ ῥυγχάζειν cod., corr. Bochart ex Aristotele. | 11. καὶ ζ.] καιατο καὶ ζωοτόκα cod. — ᾠοτ.] ζωοτόκα cod. | 17. ποιεῖ cod. | 19. = Iliad. 20, 74. | 21. ἰταλικὴν cod. corr. Meursius. | 22. καλχίδι cod. | 23. γυναῖκες cod. αἶγες Politus oves Plinius πρόβατα Strabo.

ὀριγάνου καὶ θείου περιπαττομένους ἐκλείπειν τὰς μυρμηκίας.

LXXX (86). Τὴν δ' ἔγχελυν οὔτ' ἄρρεν εἶναι οὔτε θῆλυ.

LXXXI (87). Τοὺς δὲ πέρδικας, ἐὰν κατ' ἄνεμον στῶσιν αἱ θήλειαι τῶν ἀρρένων, ἐγκύους γίνεσθαι.

LXXXII (88). Τὸν δὲ καλούμενον ἀστέρα οὕτω διάθερμον εἶναι, ὥσθ' ὄντινα ἂν λάβῃ τῶν ἰχθύων παρὰ χρῆμα δ⟨ι⟩εφθον ποιεῖν.

LXXXIII (89). Ἔχειν δὲ καὶ σπογγίον αἴσθησιν· ἂν γὰρ μέλλοντος ἀποσπᾶν προαίσθηται, συσπᾶσθαι καὶ ἔργον εἶναι ἀφελεῖν· ταὐτὸ δ' ἂν ἄνεμος ἢ κλύδων ἢ γίνεσθαι.

LXXXIV (90). Εἶναι δὲ καὶ ἐν χιόνι ζῷα σκωληκοειδῆ δασέα. ἐν δὲ Κύπρῳ οὗ ἡ χαλκῖτις λίθος καίεται, γίνεσθαι θηρίον μικρῷ μεῖζον μυιῶν. τὸ αὐτὸ δὲ καὶ ἐν τοῖς Καρυστίων ⟨χωνευ⟩τηρίοις. ἀποθνήσκειν δὲ τὰ μὲν τῆς χιόνος, τὰ δὲ τοῦ πυρὸς χωριζόμενα. (91). τὴν δὲ σαλαμάνδραν σβεννύειν τὸ πῦρ.

LXXXV (92). Περὶ δὲ τὸν Ὕπανιν ποταμὸν τὸν περὶ Βόσπορον τὸν Κιμμέριον περὶ τροπὰς χειμερινὰς καταφέρεσθαί φησιν οἷον θυλάκους μείξους ῥαγῶν, ἐφ' ὧν ῥηγνυμένων ἐξέρχεσθαι ζῷον

1. ἐκλείπειν W. ex Aristotele ἐλλίπειν cod. | 16. ἐν κύπρῳ γ' οὖν χαλκίτις cod. | 17. γίνεσθαι nos cf. ann. Austr. p. 124 καὶ γίνεται cod. — μυῶν cod. | 18. θηρίοις cod. χωνευτηρίοις nos, ann. Austr. p. 125. | 22. in margine: σημειοῦ περὶ τοῦ καλουμένου ἐπιβάλλοντος ζῴου ὃ μίαν ἡμέραν ζῇ: — Ὕπανιν ex Aristotele Bast ὑπάνιον cod. | 23. βόσπορον cod. | 24. φασιν cod. corr. nos. | 25. πηγνυμένων cod.

πτερωτὸν τετράπουν, ζῆν δὲ μίαν ἡμέραν· ἴδιον δὲ καὶ τὸ πτερωτὸν τετράπουν εἶναι.

LXXXVI (93). Τὰ δὲ σμήνη ἀπόλλυσθαι, ἐάν τε ἡγεμόν⟨ες μὴ ἐν⟩ῶσιν, ἐάν τε τοὐναντίον πολλοί.

LXXXVII (94). Τοὺς δὲ σκορπίους τοὺς χερσαίους ὑπὸ τῶν τέκνων ἀποθνήσκειν. καὶ φαλάγγια δὲ κτείνειν τὴν τεκοῦσαν, πολλάκις δὲ καὶ τοὺς ἄρρενας· συνεπῳάζει⟨ν⟩ γάρ.

LXXXVIII (95). Ἐν δὲ τῷ σώματι τῶν ἀνθρώπων γίνεσθαι οἷον ἰόνθους μικρούς· τούτους δὲ ἐάν τις κεντήσῃ, ἐξέρχεσθαι φθεῖρας, καὶ ἐάν τις ὑγράσῃ, νόσημα τούτῳ ἐμπίπτειν· ὥσπερ Ἀλκμᾶνι τῷ ποιητῇ καὶ Φερεκύδῃ τῷ Συρίῳ.

LXXXIX (96). Ἴδιον δὲ καὶ τοῦτο, νεκρῶν τινων τοῦ μυελοῦ σαπέντος ἐκ τῆς ῥάχεως ὀφίδια γίνεσθαι, ἐὰν πρὸ τοῦ τελευτᾶν ὄφεως τεθνηκότος ἑλκύσωσι τὴν ὀσμήν. καί τινι καὶ ἐπιγραμματίῳ περιπεπτώκαμεν Ἀρχελάου, οὗ καὶ πρότερον ἐμνήσθημεν, ὃς περὶ τῶν θαυμασίων καὶ τοῦτο καταγράφει, καί φησι·

πάντα δι' ἀλλήλων ὁ πολὺς σφραγίζεται αἰών·
ἀνδρὸς γὰρ κοίλης ἐκ μυελοῦ ῥάχεως
δεινὸς γίνετ' ὄφις, νέκυος δειλοῖο σαπέντος,
ὃς νέον ἐκ τούτου πνεῦμα λάβῃ τέραος,
τεθνεότος ζωὴν ἕλκων φύσιν· εἰ δὲ τόδ' ἐστίν,
οὐ θαῦμα βλαστεῖν τὸν διφυῆ Κέκροπα.

τοῦτο μὲν οὖν ἐν ἀκοῇ τε καὶ φερομένῃ τινὶ καὶ

4. ἡγεμόν////////ωσιν cod., cf. ann. Austr. p. 125. | 11. sq. ἐάν τις ἐάσῃ εἰς νόσημα τοῦτο ἐμπίπτει cod. ὑγράσῃ coni. W. cetera coni. Bast. | 12. ἀλκμαίωνι τῷ φυσικῷ cod. errore excerptoris: Ἀλκμᾶνα τὸν ποιητήν recte exhibet Aristoteles. | 13. φερεκύδει cod.

παρέργως τῇ τοῦ ἐπιγράμματος ποιεῖ μαρτυρίᾳ κεῖσθαι.

XC (97). Ὁ δὲ Ἀριστοτέλης ἐν κηρῷ φησιν γίνεσθαι ζῷον, ὃ δὴ δοκεῖν ἐλάχιστον εἶναι καὶ καλεῖσθαι ἀκαρί.

XCI (98). Τὸν δὲ ποτάμιον κροκόδειλον ἐξ ἐλαχίστου γίνεσθαι μέγιστον· τὸ μὲν γὰρ ᾠὸν ⟨οὐ⟩ μεῖζον γίνεσθαι χην⟨ε⟩ίου, αὐτὸν δὲ γίνεσθαι καὶ ἑπτακαιδεκάπηχυν.

CXII (99). Τῶν δὲ καράβων τοὺς πολύποδας κρατεῖν, οὐδὲν γὰρ ὑπὸ τῶν ὀστράκων πάσχειν· τῶν δὲ πολυπόδων τοὺς γόγγρους, οὐδὲν γὰρ αὐτοῖς διὰ τὴν λειότητα δύνασθαι τὸν πολύποδα χρῆσθαι· τοῦ δὲ γόγγρου κάραβον, οὐ γὰρ ἐξολισθαίνειν αὐτόν, ἀλλὰ κατατέμνεσθαι διὰ τὴν τῶν ὀστράκων τραχύτητα.

XCIII (100). Τὸν δὲ κεστρέα φησίν, ὅταν φοβηθῇ, τὴν κεφαλὴν κρύπτειν, ὡς ὅλον τὸ σῶμα κρύπτοντα.

XCIV (101). Τὰ γαμψὰ πάντ' εἶναι μιμητικά.

XCV (102). Ὑπὸ κυνὸς λυττώσης λυττᾶν πάντα τὰ δηχθέντα πλὴν ἀνθρώπου.

XCVI (103). Τῶν ζῴων τὰ μακρὰ ἄρσενα εἶναι, τὰ δεύτερα θήλεα.

XCVII (104). Καὶ ἐν Αἰγύπτῳ κατορύττοντας εἰς κόπρον νεοττοὺς ποιεῖν. (105). ἐν Συρακούσαις δὲ φιλοπότην τινὰ εἰς τὴν γῆν κατορύξαι καὶ ἐπι-

1. τῇ] τῆς cod. | 3. ἀ. λέγ////ἐν κηρῷ φησιν cod. | 5. sq. ἀκάρητον διὸς ταμιον: τὸν δὲ κροκόδειλον cod., emend. Meursius. | 7. οὐ add. Meursius ex Aristotele. | 21. ὑπό τινος cod. corr. Xylander.

θέντα τὴν ψίεθον ἕως τούτου πίνειν συνεχῶς, ἕως γλυφῆναι τὰ ᾠά· ἤδη δὲ κείμενα ἐν ἀγγείοις ἀλεεινοῖς ἐκπεφθῆναι καὶ προελθεῖν.

XCVIII (106). Τῶν δὲ χελιδόνων τοὺς νεοττούς, ἐάν τις ἐκτυφλώσῃ, πάλιν βλέπειν.

XCIX (107). Τὸν δὲ ἱέρακα τρία μὲν τίκτειν, αὐξανομένων δὲ τῶν νεοττῶν ἐκλέγειν τὸν ἕνα· οὐ γὰρ δύνασθαι τρέφειν διὰ τὸ τὸν χρόνον τοῦτον τοὺς ὄνυχας αὐτοῦ διαστρέφεσθαι καὶ μηδὲν ἁρπάζειν· τὸν δὲ πλανηθέντα τὴν φήνην ὑποβάλλεσθαι. (108). καὶ τὸ ὅλως ἐπιεικῶς τοὺς γαμψώνυχας, ὅταν θᾶττον οἱ νεοττοὶ δύνωνται πέτεσθαι, ἐκβάλλειν πλὴν τῆς κορώνης· ταύτην δὲ καὶ πετομένους ἐπί τινα χρόνον ψωμίζειν.

C (109). Κόκκυγος δὲ νεοττοὺς οὐδένα ἑορακέναι· τίκτειν γὰρ αὐτὸν οὐκ ἐν τῇ ἰδίᾳ νεοττείᾳ, ἀλλ' εἰς τὰς τῶν ὀρνιθίων ἢ εἰς τὰς τῶν φ<λ>άβων ἢ ὑπολαΐδων εἰσπετόμενον, ὅταν καταφάγῃ τὰ προϋπάρχοντα ᾠά.

CI (110). Τοὺς δὲ πέρδικας ποιεῖσθαι σηκοὺς τῶν ᾠῶν καὶ ἐπῳάζειν καὶ τρέφειν ἑκατέρους, καὶ τοὺς νεοττοὺς ὅταν πρῶτον ἐξαγάγωσιν ὀχεύειν αὐτούς.

CII. Τοὺς ⟨ὗς⟩ δὲ πρὸς ἀλλήλους μάχεσθαι θωρακιζομένους τῷ ἰδίῳ δέρματι, ποιεῖν δὲ τραχὺ ἐκ παρασκευῆς τρίβοντας πρὸς δένδρα καὶ τῷ πηλῷ

2. ἐν ἀγγείοις λαγίνοις cod. emend. W. | 3. ἐκτριφθῆναι cod., ἐκπεφθῆναι nos ex Aristotele ann. Austr. p. 126. | 10. φήνην Meursius ex Aristotele, φωνὴν cod. | 15. κόκκυκος cod. — ἑορακέναι, ο in erasa ω cod. | 17. ὀρνηθίων cod. | 18. ἢ ὑπολ.] ηὐποδυσιδεων cod., emend. Bochart ex Theophr. hist. plant. II 24. — καταφύγῃ cod., emend. Schneider. | 23. ὗς ex Aristotele add. Schneider. | 25. τρίβοντες cod.

μολύνοντας καὶ ξηραίνοντας. φάναι δέ τινας καταγράφειν, ὡς αὐτὸς οὐ πεπειραμένος, ὅτι ἂν ὑς τὸν ἕτερον ὀφθαλμὸν ἐκκοπῇ, ἀποθνήσκει ταχέως.

CIII (111). Αἶγας δὲ καὶ πρόβατα βορείοις μὲν ὀχευόμενα ἀρσενοτοκεῖν ὡς τὸ πολύ, νοτίοις δὲ θηλυτοκεῖν· λευκὰ δὲ τὰ γεννώμενα γίνεσθαι, ἐὰν ὑπὸ τῇ γλώττῃ τοῦ κριοῦ λευκαὶ φλέβες ὦσιν, μέλανα δὲ ἐὰν μέλαιναι. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν πυρρῶν. πρότερον δὲ ὀχεύεσθαι τὸ ἀλυκὸν ὕδωρ πίνοντα.

CIV (112). Τοὺς δὲ Λακωνικοὺς κύνας πονήσαντας μᾶλλον ὀχεύειν.

CV (113). Θαυμασιωτάτην δ' εἶναι τῷ τάχει τὴν τῶν μυῶν γένεσιν· ἤδη γάρ ποτε τῆς θηλείας κυούσης καὶ ἐναπολειφθείσης ἐν ἀγγείῳ φανῆναι μετ' οὐ πολὺν χρόνον μῦς εἴκοσιν καὶ ἑκατόν. τῆς δὲ Περσικῆς ἔν τισιν ⟨τόποις⟩ ἀνασχιζομένων τῶν θηλείων τῶν μυῶν τὰ ἔμβρυα ἤδη κύοντα εὑρίσκεσθαι.

CVI (114). Αἰγίθου δὲ λέγεται καὶ ἀκανθίδος αἷμα μόλις μίγνυσθαι.

CVII (115). Τῶν δὲ αἰγῶν ὅταν μία τις λάβῃ τὸ ἄκρον τοῦ ὀρύγγου (ἔστιν δ' οἷον θρίξ), τὰς ἄλλας ἑστάναι οἷον μεμωρωμένας ἐμβλεπούσας εἰς ἐκείνην.

2. ἂν ὑς Schneider ἄν τις cod. | 3. ἐκκοπῇ nos ex Aristotele ἐκκοπείη cod. | 9. πρότερον ἢ ὀχεῖσθαι cod. emend. Meursius et Schneider. — τὸ ἀλυκὸν cod. τὰ ἀλυκὸν Schneider, cf. ann. Austr. p. 127. | 17. τόποις add. nos ex Aristotele (ἔν τινι τόπῳ'). | 20. ἀπειθου cod. αἰγίθου Meursius. | 23. ὀρύγγου nos ex Aristotele (ὀρύγγου cod. A^a) ὀρυτίου cod. ἠρυγγίου Meursius ἠρύγγου editores Aristotelis.

CVIII (116). *Τὸ δὲ τῆς ἴκτιδος αἰδοῖον εἶναι ἐν ὀστοῦν· δοκεῖ⟨ν⟩ δὲ εἶναι φάρμακον στραγγουρίας.*

CIX (117). *Εὔνοῦχον δὲ φαλακρὸν οὐδένα γίεσθαι.* (118). *τὰς δευτερογονεῖς τρίχας τοὺς μὲν ι παιδὸς διαφθαρέντας οὐκ ἴσχειν, τοὺς δὲ ὕστεν ἀποβάλλειν πλὴν ἐπὶ τῆς ἥβης.*

CX (119). *Γυναῖκα τίκτειν πλεῖστα πέντε. ιὶ μνημονεύεσθαι μίαν ἐν τέτρασιν τόκοις εἴκοσι τοκυῖαν καὶ τὰ πλεῖστα τούτων ἐκτραφέντα. ἐὰν ἄλλ⟩ δὲ κύουσα δαψιλεστέρῳ χρήσηται, οὐκ ἔχοντα υχας γίνεσθαι τὰ παιδία.*

CX b (119 b). *Καὶ Ἀντίγονος δὲ ἱστορεῖ ἐν λεξανδρείᾳ μίαν γυναῖκα ἐν τέτρασιν τοκετοῖς κοσι τεκεῖν καὶ τὰ πλεῖστα τούτων ἐκτραφῆναι.* hlegon mirab. c. 28.

CXI (120). *Εἶναι δὲ καὶ ἄνδρας καὶ γυναῖκας ιλυγόνους καὶ ἀρρενογόνους, ὃ καὶ περὶ τοῦ Ἡρα.έους ἱστόρηται· ἐν δύο γὰρ καὶ ἑβδομήκοντα κνοις μίαν αὐτὸν γεννῆσαι θυγατέρα.*

CXII (121). *Γίνεσθαι δέ τινας καὶ ἐκ χωλῶν ιὶ ἐκ τυφλῶν ὁμοίως τυφλοὺς καὶ χωλούς· ἤδη τινας καὶ στίγματα ἐνηνοχέναι.* (122). *ἐν Ἤλιδι ἐκ τῆς ὑπὸ τοῦ Αἰθίοπος μοιχευθείσης θυγαρα μὲν γενέσθαι λευκήν, τὸν δὲ ἐκ ταύτης Αἰόπα.*

8. *τέταρσιν* cod. | 9. *ἐκτραφέντων* cod., emend. Bast. | *τῷ ἄλλ* post *κύουσα* ex Aristotele add. Meursius, *ἐὰν ἄλλ* st epist. crit. p. 71. | 16. mg.: *Ἡρακλέους παῖδες ἄρρενες θήλεια ᾱ.* | 17. *καὶ ὃ* cod. *ὃ καὶ* B. secundum Aristoten. | 23. *ὑπὸ τοῦ* cod. a. ras., *ὑπὸ τον* cod. p. ras., *ὑπό υ* W., sed cf. Aristoteles: *'ἡ τῷ Αἰθίοπι μοιχευθεῖσα'*.

μολύνοντας καὶ ξηραίνοντας. φάναι δέ τινας καταγράφειν, ὡς αὐτὸς οὐ πεπειραμένος, ὅτι ἂν ὗς τὸν ἕτερον ὀφθαλμὸν ἐκκοπῇ, ἀποθνήσκει ταχέως.

CIII (111). Αἶγας δὲ καὶ πρόβατα βορείοις μὲν ὀχευόμενα ἀρσενοτοκεῖν ὡς τὸ πολύ, νοτίοις δὲ θηλυτοκεῖν· λευκὰ δὲ τὰ γεννώμενα γίνεσθαι, ἐὰν ὑπὸ τῇ γλώττῃ τοῦ κριοῦ λευκαὶ φλέβες ὦσιν, μέλανα δὲ ἐὰν μέλαιναι. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν πυρρῶν. πρότερον δὲ ὀχεύεσθαι τὸ ἀλυκὸν ὕδωρ πίνοντα.

CIV (112). Τοὺς δὲ Λακωνικοὺς κύνας πονήσαντας μᾶλλον ὀχεύειν.

CV (113). Θαυμασιωτάτην δ' εἶναι τῷ τάχει τὴν τῶν μυῶν γένεσιν· ἤδη γάρ ποτε τῆς θηλείας κυούσης καὶ ἐναπολειφθείσης ἐν ἀγγείῳ φανῆναι μετ' οὐ πολὺν χρόνον μῦς εἴκοσιν καὶ ἑκατόν. τῆς δὲ Περσικῆς ἔν τισιν ⟨τόποις⟩ ἀνασχιζομένων τῶν θηλείων τῶν μυῶν τὰ ἔμβρυα ἤδη κύοντα εὑρίσκεσθαι.

CVI (114). Αἰγίθου δὲ λέγεται καὶ ἀκανθίδος αἷμα μόλις μίγνυσθαι.

CVII (115). Τῶν δὲ αἰγῶν ὅταν μία τις λάβῃ τὸ ἄκρον τοῦ ὀρύγγου (ἔστιν δ' οἷον θρίξ), τὰς ἄλλας ἑστάναι οἷον μεμωρωμένας ἐμβλεπούσας εἰς ἐκείνην.

2. ἄν ὗς Schneider ἄν τις cod. | 3. ἐκκοπῇ nos ex Aristotele ἐκκοπείη cod. | 9. πρότερον ἢ ὀχεῖσθαι cod. emend. Meursius et Schneider. — τὸ ἀλυκὸν cod. τὰ ἁλυκὸν Schneider, cf. ann. Austr. p. 127. | 17. τόποις add. nos ex Aristotele (ἔν τινι τόπῳ'). | 20. ἀπειθου cod. αἰγίθου Meursius. | 23. ὀρύγγου nos ex Aristotele (ὀρύγγου cod. A^{a}) ὀρυτίου cod. ἠρυγγίου Meursius ἠρύγγου editores Aristotelis.

CVIII (116). *Τὸ δὲ τῆς ἴκτιδος αἰδοῖον εἶναι μὲν ὀστοῦν· δοκεῖ⟨ν⟩ δὲ εἶναι φάρμακον στραγγουρίας.*

CIX (117). *Εὐνοῦχον δὲ φαλακρὸν οὐδένα γίνεσθαι.* (118). *τὰς δευτερογονεῖς τρίχας τοὺς μὲν ἐκ παιδὸς διαφθαρέντας οὐκ ἰσχειν, τοὺς δὲ ὕστερον ἀποβάλλειν πλὴν ἐπὶ τῆς ἤβης.*

CX (119). *Γυναῖκα τίκτειν πλεῖστα πέντε. καὶ μνημονεύεσθαι μίαν ἐν τέτρασιν τόκοις εἴκοσι τετοκυῖαν καὶ τὰ πλεῖστα τούτων ἐκτραφέντα. ἐὰν ⟨ἄλλ⟩ δὲ κύουσα δαψιλεστέρῳ χρήσηται, οὐκ ἔχοντα ὄνυχας γίνεσθαι τὰ παιδία.*

CX b (119 b). *Καὶ Ἀντίγονος δὲ ἱστορεῖ ἐν Ἀλεξανδρείᾳ μίαν γυναῖκα ἐν τέτρασιν τοκετοῖς εἴκοσι τεκεῖν καὶ τὰ πλεῖστα τούτων ἐκτραφῆναι.* Phlegon mirab. c. 28.

CXI (120). *Εἶναι δὲ καὶ ἄνδρας καὶ γυναῖκας θηλυγόνους καὶ ἀρρενογόνους, ὃ καὶ περὶ τοῦ Ἡρακλέους ἱστόρηται· ἐν δύο γὰρ καὶ ἑβδομήκοντα τέκνοις μίαν αὐτὸν γεννῆσαι θυγατέρα.*

CXII (121). *Γίνεσθαι δέ τινας καὶ ἐκ χωλῶν καὶ ἐκ τυφλῶν ὁμοίως τυφλοὺς καὶ χωλούς· ἤδη δέ τινας καὶ στίγματα ἐνηνοχέναι.* (122). *ἐν Ἤλιδι δὲ ἐκ τῆς ὑπὸ τοῦ Αἰθίοπος μοιχευθείσης θυγατέρα μὲν γενέσθαι λευκήν, τὸν δὲ ἐκ ταύτης Αἰθίοπα.*

8. *τέταρσιν* cod. | 9. *ἐκτραφέντων* cod., emend. Bast. | 10. *τῷ ἀλλ* post *κύουσα* ex Aristotele add. Meursius, *ἐὰν ἀλλ* Bast epist. crit. p. 71. | 16. mg.: *Ἡρακλέους παῖδες ἄρρενες ō θήλεια ᾱ.* | 17. *καὶ ὃ* cod. *ὃ καὶ* B. secundum Aristotelem. | 23. *ὑπὸ τοῦ* cod. a. ras., *ὑπὸ του* cod. p. ras., *ὑπό του* W., sed cf. Aristoteles: *'ἡ τῷ Αἰθίοπι μοιχευθεῖσα'*.

CXIII (123). *Τὰ δὲ παιδία ἄχρι γένηται τεττα-*
ράκοντα ἡμερῶν ἐγρηγορότα μὲν οὐ γελᾶν οὐδὲ
δακρύειν, ὑπνοῦντα δὲ ἀμφότερα.

CXIV (124). *Καὶ φυσιογνωμονεῖ δέ τινα τοι-*
αῦτα· τοῖς τὸ μέτωπον μέγα ἔχουσιν βραδυτέροις
γίνεσθαι, μικρὸν δὲ εὐκινήτοις (ὡς ἐπὶ τὸ πολὺ
προστιθεὶς ἐν ἑκάστοις), οἷς πλατὺ ἑκστατικοῖς.
(125). *ὀφρῦς εὐθείας μαλακοῦ ἤθους, πρὸς τὴν ῥῖνα*
κεκαμμένας στρυφνοῦ, πρὸς τοὺς κροτάφους μώκου
καὶ εἴρωνος. (126). *κανθοὺς κρεώδεις πονηρίας,*
ὦτα μέσα βελτίστου ἤθους, τὰ δὲ μεγάλα καὶ
ἐπανεστηκότα μωρολογίας καὶ ἀδολεσχίας.

CXV (127). *Τῶν δὲ θηλέων ζῴων ῥοπικώ-*
τερόν φησιν εἶναι πρὸς τὴν συνουσίαν ἵππον, καὶ
ἱππομανεῖν ἰσχυρῶς, ὅθεν καὶ πρὸς τὴν βλασφη-
μίαν ἀπὸ τούτου μεταφέρεσθαι καὶ τὰς πρὸς τὰ
ἀφροδίσια κεκινημένας ὀνειδίζεσθαι. φαίνεται δὲ
καὶ Αἰσχύλος ἱστορικῶς τὸ τοιοῦτον οὕτως πως
εἰρηκέναι πρὸς τὰς παρθένους ἐν ταῖς Τοξότισιν
[Aeschyl. fragm. 238 Nauck]·

μῶν ταῖσιν ἀγναῖς παρθένοις γαμηλίων
λέκτρων ἀπείροις βλεμμάτων ῥέπ⟨ε⟩ι βολή;

καὶ διαλιπὼν προσέθηκεν [Aeschyl. fragm. 239 Nauck]·

⟨νέας γυναικὸς⟩ οὔ με μὴ λάθῃ φλέγων
ὀφθαλμός, ἥτις ἀνδρὸς ᾗ γεγευμένη·
ἔχω δὲ τούτων θυμὸν ἱππογνώμονα.

7. ἑκτατικοῖς cod. | 9. στρυφνούς· cod. | 13. ροπικώτερον cod. p. ras. τροπικώτερον cod. a. ras. ῥοπικώτερόν Salmasius. | 15. ἱππομανίαν cod. | 21. ἄδων ταῖς cod. μῶν ταῖσιν Nauck. | 22. αστει μηβλεμμάτων cod. ἀπείροις βλεμμάτων Heath. — ρεπιβουλη cod., corr. Salmasius. | 25. ᾗ] ἧι cod. | 26. ἔχων cod. ἔχω Salmasius.

πολλῶν δὲ ὄντων, ὧν καταγέγραφεν Ἀριστοτέλης, ἐπὶ τοσοῦτον ἠδυνήθημεν ἡμεῖς ἐπὶ τοῦ παρόντος τὰ μὲν ἐκλέξαι, τὰ δ' ἀναμνησθῆναι.

CXVI (128). Φησὶν δ' ... ὁ ἱστοριογράφος Ἀρσάμην τὸν Πέρσην εὐθὺς ἐκ γενετῆς ὀδόντας ἔχειν.

CXVII (129). Μυρσίλος δὲ ὁ Λέσβιος Λοκροὺς τοὺς Ὀζόλας τῆς ἐπιδημίου ἐπωνυμίας τετυχηκέναι, ὅτι τῆς χώρας τῆς αὐτῶν ⟨τὸ ὕδωρ⟩ ὄζει καὶ μάλιστα τοῦ Ταφίου καλουμένου ὄρους· καὶ ῥεῖν αὐτόθεν εἰς θάλασσαν ὥσπερ πύον, τεθάφθαι δ' ἐν τῷ ὄρει τούτῳ Νέσσον τὸν Κένταυρον, ὃν Ἡρακλῆς ἀπέκτεινεν.

CXVIII (130). Τὰς δὲ Λημνίας δυσόσμους γενέσθαι Μηδείας ἀφικομένης μετ' Ἰάσονος καὶ φάρμακα ἐμβαλλούσης εἰς τὴν νῆσον· κατὰ δή τινα χρόνον καὶ μάλιστα ἐν ταύταις ταῖς ἡμέραις, ἐν αἷς ἱστοροῦσιν τὴν Μήδειαν παραγενέσθαι, δυσώδεις αὐτὰς οὕτως γίνεσθαι, ὥστε μηδένα προσιέναι.

CXIX (131). Θεόπομπος δέ φησιν ὁ ἱστοριογράφος τὸ καλούμενον ἀκόνιτον γίνεσθαι μὲν περὶ Ἡράκλειαν τὴν ἐν τῷ Πόντῳ ταῖς ὀνομαζομέναις Ἀκόναις, ὅθεν καὶ τῆς προσηγορίας τετυχηκέναι, δυναμικὸν ἐναργῶς δ' ὂν οὐκ ἐνεργεῖν οὐδέν, ἂν πίῃ τις πήγανον ταύτην τὴν ἡμέραν· ὥστε Κλεάρχου τοῦ τυράννου πολλοὺς ἀποκτείναντος φαρμάκῳ καὶ

4. nomen auctoris excidit. | 6. in margine haec leguntur: 'σημειοῦ δι' ἣν αἰτίαν τινὲς τῶν λοκρῶν ὀζόλαι καλοῦνται'. | 7. ἐπιδημίου nos cf. ann. Austr. p. 128 ἐπιθυμίας cod., delet Meursius, ἐπιδημίας Xylander. | 8. τὸ ὕδωρ add. Meursius ex Strabone. | 19. in margine haec adnotata sunt: 'σημειοῦ ὅτι τὸ πήγανον ἦν τι φάρμακον.' | 24. ἀγαθάρχου cod. Κλεάρχου ex Athenaeo et Justino emend. Mercurialis.

πειρωμένου λανθάνειν, ὡς ἐγένετο συμφανές, τοὺς πλείστους Ἡρακλεωτῶν οὐ πρότερον ἐξιέναι πρὸ τοῦ φαγεῖν πήγανον. γράφει δὲ καὶ τὴν πρόφασιν καὶ τὴν ἀρχὴν ἐξ ἧς ὤφθη σφόδρα μακρῶς, διὸ καὶ παρελείπομεν.

CXX (132). Ὁ δὲ τοὺς Σαμιακοὺς ὥρους συγγεγραφὼς ἐπὶ τῶν πρώτων κληθέντων μυθητῶν [τῶν] περὶ Ἐρασιστράτιόν φησιν χελιδόνα λευκὴν φανῆναι.

CXXI (133). Ἵππυς δὲ ὁ Ῥηγῖνος [περὶ τῶν λεγομένων τόπων φθείρειν τὰ ἐμπίπτοντα] τοιοῦτόν τι γράφει. φησὶν [ἐν Ἀθήναις ἐπὶ † βασιλέως † Ἐπαινέτου † ὀλυμπιάδος ἕκτης καὶ † τριακοστῆς, ἐν ᾗ Ἀρυτάμας Λάκων νικᾷ στάδιον] τῆς Σικελίας ἐν Παλικίοις οἰκοδομηθῆναι τόπον, εἰς ὃν ἅστις ἂν εἰσέλθῃ, εἰ μὲν κατακλιθείη, ἀποθνήσκει⟨ν⟩, εἰ δὲ περιπατοίη, οὐδὲν πάσχειν.

CXXII (134). Ἱστορεῖται δὲ καὶ περὶ τὴν Λευκὴν νῆσον μηδὲν ὑπεραίρειν δύνασθαι τῶν ὀρνέων τῇ πτήσει τὸν τοῦ Ἀχιλλέως ναόν.

CXXIII (135). Καὶ πολλαχοῦ δὲ ἔοικεν τό τε τῶν βαράθρων καλουμένων καὶ Χαρωνίων εἶναι γένος, οἷον ὅ τε Κίμβρος καλούμενος ὁ περὶ Φρυγίαν βόθυνος, ὡς Εὔδοξός φησιν, καὶ τὸ ἐν Λάτμῳ ὄρυγμα.

6. ὄρους cod., emend. W. | 7. μαθητῶν cod., emend. Schneidewin. | 8. Ἐρασιστράτιον Meursius ἠρόστρατον cod., ann. Austr. p. 128. | 10. Ἵππυς G. J. Voss Ἵππων cod. — περὶ — ἐμπίπτοντα delet C. Müller, cf. ann. Austr. p. 129. | 15. παληκίοις cod. Παλίκοις Meursius. — οἰκονομηθῆναι cod. | 16. ἀποθνήσκει cod. | 23. Κίμβρος] = Κίμμερος Phot. p. 156, 23 an = Κερβήσιος Strab. XII. p. 580?

CXXIV (136). *Καὶ τὰ τῇ σελήνῃ συναυξανό-*
ενά τε καὶ συμφθίνοντα, οἷον τὰ τῶν μυῶν ἤπατα·
έγεται γὰρ καὶ συμπληροῦσθαι καὶ συμφθίνειν
αὶ συναύξεσθαι τῷ μηνί, διὸ καὶ παρὰ πολλοῖς
ν παροιμίας εἰρῆσθαι μέρει ἐπὶ τῶν θαυμαστῶν
εράτων· μυῶν ἤπατα. (137). *καὶ τὰ τῶν θαλατ-*
ίων δὲ ἐχίνων ᾠὰ ταὐτὸ πάσχειν. ἴδιον δὲ καὶ
ὸ πάντας αὐτοὺς ἔχειν πέντε καὶ ἴσον ἀλλήλων
ιεστηκότα καὶ περὶ τὴν περιφέρειαν τοῦ ὀστρά⟨κου⟩
ύκλον, ὥστε ἴσας τὰς ἐκ τοῦ κέντρου προσπίπτειν
ὐτῇ.

CXXV (138). *Φασὶν δὲ καὶ περὶ τὸν τῆς Ἰτα-*
ίας πορθμὸν φθίνειν καὶ πληροῦσθαι κατὰ τὴν
ειώσιν τῆς σελήνης καὶ αὔξησιν.

CXXVI (139). *Ἑλλάνικος δ' ὁ Λέσβιος ἐν Θή-*
ιαις ταῖς Αἰγυπτίαις ἱστορεῖ σπήλαιον ἐν ἄστει,
αθ' ὃ εἶναι τὰς μὲν τριακάδας νηνεμίαν, τὰς δ
ἄλλας ἡμέρας ἄνεμον. (140). *δόξαι δ' ἀνεξέταστόν*
ι ἔχειν καὶ δυσπαρατήρητον ἡ ἐκλογή, καθάπερ
Εὔριπος ταῖς ἑβδόμαις οὐ στρέφεται, καὶ ὅτι οἱ
ιύρμηκες ταῖς νουμηνίαις ἀναπαύονται.

CXXVII (141). *Οἱ Δελφοὶ δὲ λέγουσιν, ὅτι*
ν τῷ Παρνασσῷ κατά τινας χρόνους τὸ Κωρύκιον
αίνεσθαι χρυσοειδές. διὸ καὶ τὸν Φιλόξενον οὐ-
εἰς ἂν εἰκονολογεῖν εἴποι λέγονθ' οὕτως·

1. mg.: *σημειοῦ τὴν παροιμίαν μυῶν ἤπατα ἐφ' ὧν*
έγεται. | 2. *μυῶν ητα ἤπατα* cod. | 4. *τῶν νυν· εἰ* cod. *τῷ*
ηνὶ Meursius. | 14. *καὶ* supra versum, cod. | 15. *ἑλλανικὸς*
od. | 71. *μὲν τὰς μὲν* cod., prius *μὲν* delevit Meursius. | 23.
αρνασσω cod. | 25. *ἀνεικοτολακεῖν* cod. a. ras. *ἀνεικοτολα-*
εῖν cod. p. ras. *αν εἰκαιολαλεῖν* Clinton *ἂν εἰκονολογεῖν*
Cobet *ἀνεικοτολαλεῖν* Meursius *ἂν κομπολακεῖν* Bast.

αὐτοὶ γὰρ διὰ Παρνασσοῦ . . .
χρυσορόφων νυμφέων εἴσω . . . θαλάμων.

CXXVIII (142). Ἐν δὲ τοῖς Φύλλοις λέγεται τὰς ποίμνας διὰ πέμπτης ἡμέρας ποτίζεσθαι. (143). τούτου δὲ τερατωδέστερον ἐν Ζακύνθῳ. ὑπὸ γὰρ τοὺς ἐτησίας χαίνοντες ἑστήκασιν οἱ τράγοι πρὸς τὸν βορέαν καὶ τοῦτο πράττοντες οὐ προσδέονται ὕδατος οὐδὲ πίνουσιν.

CXXIX (144). Πεποίηται δέ τινα καὶ ὁ Κυρηναῖος Καλλίμαχος ἐκλογὴν τῶν παραδόξων, ἧς ἀναγράφομεν ὅσα ποτὲ ἡμῖν ἐφαίνετο εἶναι ἀκοῆς ἄξια. φησὶν Εὔδοξον ἱστορεῖν, ὅτι ἐν τῇ κατὰ ἱερὸν ὄρος θαλάττῃ τῆς Θρᾴκης ἐπιπολάζει κατά τινας χρόνους ἄσφαλτος, ἡ δὲ κατὰ Χελιδονίας ὅτι ἐπὶ πολὺν τόπον ἔχει γλυκείας πηγάς.

CXXX (145). Θεόφραστον δὲ τὴν περὶ τὰς Αἰόλου νήσους ἀναζεῖν οὕτως ἐπὶ δύο πλέθρων τὸ μῆκος, ὥστε μὴ δυνατὸν εἶναι διὰ τὴν θερμασίαν ἐμβαίνειν εἰς ταύτην.

CXXXI (146). Ἐκ δὲ τῆς κατὰ Δημόνησον τὴν Καλχηδονίων τοὺς κολυμβητὰς ἀναφέρειν εἰς δύο ὀργυιὰς χαλκόν, ἐξ οὗ καὶ τοὺς ἐν Φενεῷ τοὺς

1 sq. διὰ Παρνησσοῖο νέοντο χ.ν.—εἴσω ἀνὰ θαλάμων Heyne διὰ Παρνασσοῦ πτύχας ἠνεμοέσσας εἴσω ἴσαν θαλάμων Bergk. | 3. φύλλοις cod., sed ὑλλοις fortasse in rasura, Φύλλίοις Meursius. | 10. ἀναγραφόμενος, ὅποτε, sed ″ in rasura, cod.; emend. Bast. | 14. χελιδόνας cod., emend. Meursius ex Stephano. | 15. γλυκέας cod., defend. B., γλυκείας Bentley. | 16. Θεόφραστος δὲ τὰς περὶ τὰς αι ὁλους νήσους cod. | 20. δῆλον νῆσον cod., emend. Meursius. | 21. καρχηδονίων cod. emend. Meursius. — εἰς δύο ὀργυίας] cf. ann. Austr. p. 129 εν δύο ὀργύϊας cod. — (εἰς δύο ὀργυιὰς Bast.) | 22. φαινεᾶι cod., corr. Meursius.

ὑπό Ἡρακλέους ἀνατεθέντας ἀνδριάντας εἰργάσθαι.

CXXXII (147). Μεγασθένην δὲ τὸν τὰ Ἰνδικὰ γεγραφότα ἱστορεῖν ἐν τῇ κατὰ τὴν Ἰνδικὴν θαλάττῃ δένδρεα φύεσθαι.

CXXXIII (148). Περὶ δὲ τῶν ποταμῶν καὶ κρηνῶν Λύκον μέν φησιν λέγειν, ὅτι ὁ μὲν Κάμικος θαλάττης ζεούσης ⟨ἁλὶ⟩ ῥεῖ, ὁ δὲ † Κάπαιος καὶ Κριμισὸς ὅτι τὰ μὲν ἐπιπολῆς τῶν ὑδάτων εἰσὶ ψυχροί, τὰ δὲ κάτω θερμοί, τὸν δ' Ἰμέραν ἐκ μιᾶς πηγῆς σχιζόμενον τὸ μὲν ἁλυκὸν τῶν ῥείθρων ἔχειν, τὸ δὲ πότιμον.

CXXXIV (149). Τίμαιον δὲ τῶν ἐν Ἰταλίᾳ ποταμῶν ἱστορεῖν Κρᾶθιν ξανθίζειν τὰς τρίχας.

CXXXV (150). Πολύκριτον δὲ καταγεγραφέναι τὸν μὲν ἐν Σόλοις οὐ ψευδῶς ὠνομάσθαι Λίπαριν, ἀλλ' οὕτως ἀπολιπαίνειν ὥστε μὴ προσδεῖσθαι ἀλείμματος, τὸν δὲ ἐν Παμφυλίᾳ Μούαβιν ἀπολιθοῦν, ἐάν τις ἐμβάλῃ στοιβὴν ἢ πλίνθον.

CXXXVI (151). Περὶ δὲ τὴν τῶν Ἀγριῶν Θρᾳκῶν χώραν φησὶν ποταμὸν προσαγορευόμενον Πόντον καταφέρειν λίθους ἀνθρακώδεις, τούτους δὲ κάεσθαι μέν, πᾶν δὲ τοὐναντίον πάσχειν τοῖς ἐκ τῶν ξύλων ἀνθρακευομένοις· ὑπὸ μὲν γὰρ τῶν ῥιπίδων πνευματιζομένους σβέννυσθαι, τῷ δὲ ὕδατι

1. ἡρακλέως cod. — ἀνατιθέντας cod. | 7. καμίσκος cod., emend. Meursius. | 8. ῥεούσης cod., emend. Jacobs θαλάσσης ῥεούσης μεγάλης ἅλι ῥεῖ O. Schneider. | 8. καπαιος cod. — κριμίσιος cod., emend. Meursius. | 10. ἡμέραν cod. | 14. κρατειν ξανθίζῃ cod., emend. Xylander. | 16. τὸ cod. | 19. ἐμβάλῃ cod. — πλίνθον O. Schneider λίθον cod. | 20. Ἀγριῶν O. Schneider Ἀγριέων vel Ἀγραίων Salmasius ἀγρίων cod.

φαινομένους βέλτιον κάεσθαι, τὴν δ' ὀσμὴν αὐτῶν οὐδὲν ὑπομένειν ἑρπετόν.

CXXXVII (152). Τὴν δ' ἐν Λούσοις κρήνην, καθάπερ παρὰ τοῖς Λαμψακηνοῖς, ἔχειν ἐν ἑαυτῇ μῦς ὁμοίους τοῖς κατοικιδίοις, ἱστορεῖν δὲ ταῦτα Θεόπομπον.

CXXXVIII (153). Εὔδοξον δὲ τὴν ἐν Ἄλῳ Ὀφίουσσαν τὸν ἀλφὸν παύειν.

CXXXIX (154). Λύκον δὲ τὸν Ῥηγῖνον λέγειν, τὴν μὲν ἐν τῇ Σικανῶν χώρᾳ φέρειν ὄξος, ᾧπερ ἐπὶ τῶν ἐδεσμάτων χρῶνται, τὴν δὲ ἐν † Κυστιτράτῳ οἷον ἐλαίῳ ῥεῖν· τοῦτο δ' ἔν τε τοῖς λύχνοις κάεσθαι καὶ δύνασθαι φύματα καὶ ψώραν ἰᾶσθαι, προσαγορευόμενον Κυστιτραῖον. πλησίον δὲ εἶναι τὴν ἀπὸ μὲν ἀρκτούρου μέχρι πλειάδος ἀναβάλλουσαν οὐδενὸς χεῖρον τῶν ἄλλων ὑδάτων, ἀπὸ δὲ πλειάδος μέχρι πρὸς ἀρκτοῦρον τῆς μὲν ἡμέρας καπνὸν ἀναφέρουσαν καὶ πνέουσαν θερμόν, ἐν δὲ τῇ νυκτὶ φλογὸς πληρουμένην.

CXL (155). Ἀρέθουσαν δὲ τὴν ἐν Συρακούσαις, ὥσπερ οἱ λοιποί φασιν καὶ Πίνδαρος, τὴν πηγὴν ἔχειν ἐκ τοῦ κατὰ τὴν Ἠλ⟨ε⟩ίαν Ἀλφειοῦ, διὸ καὶ ταῖς Ὀλυμπικαῖς ἡμέραις, ὅταν ἐν τῷ ποταμῷ ἀποπλύνωσιν τῶν θυμάτων τὰς κοιλίας, οὐ καθαρὰν εἶναι τὴν ἐν τῇ Σικελίᾳ κρήνην, ἀλλὰ ῥεῖν ὄνθῳ. φησὶν δὲ καὶ φιάλην ποτ' εἰς τὸν Ἀλφειὸν ἐμβλη-

7. Ἄλῳ praefert O. Schneider. | 11. κυστιτράτῳ cod. Μυτιστράτῳ Meursius ex Stephano. | 14. κυστιτραῖον cod. Μυτιστράτιον Meursius cf. ann. Austr. p. 129. | 17. τὰς cod. τῆς B.

θεῖσαν ἐν ἐκείνῃ φανῆναι. τοῦτο δ' ἱστορεῖ καὶ Τίμαιος.

CXLI (156). Θεόπομπον δέ φησιν γράφειν τῆς μὲν ἐν Κίγχρωψ[ωσ]ιν τοῖς Θρᾳξὶν τὸν ἀπογευσάμενον τελευτᾶν εὐθύς.

CXLII (157). Ἐν Σκοτούσσῃ δ' εἶναι κρηνίδιον οὐ μόνον ἀνθρώπων ἕλκη, ἀλλὰ καὶ βοσκημάτων ὑγιάζειν δυνάμενον· κἂν ξύλον δὲ σχίσας ἢ θραύσας ἐμβάλῃς συμφύειν.

CXLIII (158). Ἐκ δὲ τῆς περὶ Χαονίαν, ὅταν ἀφεψηθῇ τὸ ὕδωρ, ἅλας γίνεσθαι.

CXLIV (159). Τῶν δ' ἐν Ἄμμωνι κρηνῶν λέγειν Ἀριστοτέλη, ὅτι τὴν μὲν Ἡλίου γε νομιζομένην μέσων μὲν νυκτῶν καὶ μεσημβρίας γίγνεσθαι θερμήν, ἕωθεν δὲ καὶ δείλης καθαπερεὶ κρύσταλλον, ἡ δ' ἄλλη διότι ἀναβαίνοντος μὲν ἡλίου πιδύει, ἐπὶ δυσμαῖς δ' ἰόντος ἵσταται.

CXLV (160). Κτησίαν δὲ τὴν ἐν Αἰθιοπίᾳ τὸ μὲν ὕδωρ ἔχειν ἐρυθρόν, ὡσανεὶ κιννάβαρι, τοὺς δ' ἀπ' αὐτῆς πιόντας παράφρονας γίνεσθαι. τοῦτο δ' ἱστορεῖ καὶ Φίλων ὁ τὰ Αἰθιοπικὰ συγγραψάμενος.

CXLVI (161). Τὴν δ' ἐν τοῖς Ἰνδικοῖς κρήνην Σίλαν οὐδὲ τὸ κουφότατον τῶν βληθέντων ἐᾶν ἐπιμένειν, ἀλλὰ πάντα καθέλκειν. καὶ ταῦτα δὲ πλείους εἰρήκασιν καὶ ἐπὶ πλειόνων ὑδάτων.

3. τὴν cod. τῆς W. | 4. κιγχρωψωσιν cod. | 6. κρηνίδιον . . . δυνάμενον Bentley ex Pseudoaristotelis mirab. ausc. c. 117. κρήνην ἰδίαν . . . δυναμένην cod. | 16. καταβαίνοντος cod. ἀναβαίνοντος Voss. — πηγνύειν cod. πιδύει (πηδύει) Voss. | 23. Σίλαν — ἐᾶν] ϊλανουδεγοκουφατατοὐτωνβληθέντωναιαν cod. — ἐμβληθέντων W. | 24. ἐπιμένειν cod. ἐπιπλεῖν Bast.

CXLVII (162). *Εὔδοξον δ' ἱστορεῖν τὴν μὲν ἐν Καλχηδόνι κροκοδείλους ἐν αὐτῇ ⟨ἔχειν⟩ μικρούς, ὁμοίους τοῖς ἐν Αἰγύπτῳ.*

CXLVIII (163). *Περὶ δὲ τὴν Ἀθαμανίαν ἱερὸν εἶναι Νυμφῶν, ἐν ᾧ τὴν κρήνην τὸ μὲν ὕδωρ ἔχειν ἄφατον ὡς ψυχρόν, ὃ δ' ἂν ὑπερθῇς αὐτοῦ θερμαίνειν· ἐὰν δέ τις φρύγανον ἢ ἄλλο τι τῶν τοιούτων προσενέγκῃ, μετὰ φλογὸς καίεσθαι.*

CXLIX (164). *Κατὰ δὲ τὴν Ἀραβίαν ἐν πόλει Λευκοθέᾳ Ἀμώμητόν φησιν γράφειν τὸν πραγματευθέντα τὸν ἐκ Μέμφεως ἀνάπλουν, εἰς τὴν καλουμένην Ἴσιδος κρήνην ἄν τις οἴνου ἐπιχέῃ κοτύλην, διότι γίγνεται τὸ ποτὸν εὔκρατον.*

CL (165). *Περὶ δὲ λιμνῶν Κτησίαν μὲν ἱστορεῖν λέγει τῶν ἐν Ἰνδοῖς λιμνῶν τὴν μὲν τὰ εἰς αὐτὴν ἀφιέμενα κάτω οὐ δέχεσθαι, καθάπερ τὴν ἐν Σικελίᾳ καὶ Μήδοις, πλὴν χρυσίον καὶ σίδηρον καὶ χαλκόν, καὶ ἄν τι ἐμπέσῃ πλάγιον, ὀρθὸν ἐκβάλλειν, ἴασθαι δὲ τὴν καλουμένην λεύκην· τῇ δ' ἑτέρᾳ κατὰ τὰς εὐδιαζούσας ἡμέρας ἐπιπολάζειν ἔλαιον.*

CLI (166). *Ξενόφιλον δὲ ἐν μὲν τῇ πλησίον Ἰόππης οὐ μόνον ἐπινήχεσθαι πᾶν βάρος, ἀλλὰ καὶ παρὰ τρίτον ἔτος φέρειν ὑγρὰν ἄσφαλτον· ὅταν δὲ*

2. *καρχηδόνι* cod. emend. Holstenius. — *κορκοδείλους* cod. — *ἐν αὐτῇ* cod. — *ἔχειν* add. Bentley. | 15. *λέγεται* cod. *λέγει* Bentley. — *μὲν* supra versum, cod. | 16. *καταδέχεσθαι* cod., *κάτω οὐ δ.* O. Schneider. | 20. *ἰδιαζούσας* cod., emend. Holstenius. | 22. *Ξενόφιλον* C. Müller (hist. Gr. fr. IV. p. 530) *ζηνόφιλον* cod. | 23. *ἰόππῃ* cod. — *ἐπινήχεσθαι* Meursius. *ἐπιδέχεσθαι* cod.

γίγνηται τοῦτο, παρὰ τοῖς ἐντὸς τριάκοντα σταδίων οἰκοῦσιν ἰοῦσθαι χαλκώματα.

CLII (167). Τὴν δὲ ἐν τοῖς Σαρμάταις λίμνην Ἡρακλείδην γράφειν, ὅτι οὐδὲν τῶν ὀρνέων ὑπεραίρειν, τὸ δὲ προσελθὸν ὑπὸ τῆς ὀσμῆς τελευτᾶν· ὃ δὴ καὶ περὶ τὴν Ἀορνῖτιν δοκεῖ γίγνεσθαι καὶ κατίσχυκεν ἡ φήμη παρὰ τοῖς πλείστοις. (168). ὁ δὲ Τίμαιος τοῦτο μὲν ψεῦδος ἡγεῖται εἶναι· τὰ πλεῖστα γὰρ κατατυχεῖν τῶν εἰθισμένων παρ' αὐτῇ διαιτᾶσθαι· ἐκεῖνο μέντοι λέγει, διότι συνδένδρων τόπων ἐπικειμένων αὐτῇ καὶ πολλῶν κλάδων καὶ φύλλων διὰ τὰ πνεύματα τῶν μὲν κατακλωμένων, τῶν δὲ ἀποσειομένων, οὐδέν ἐστιν ἰδεῖν ἐπ' αὐτῇ ἐφεστηκός, ἀλλὰ διαμένειν καθαράν.

CLIII (169). Ἐκ δὲ τῆς ἐν Ζακύνθῳ λίμνης φησὶν Εὔδοξον ἱστορεῖν, ὅτι ἀναφέρεται πίσσα, καίτοι παρεχούσης αὐτῆς ἰχθῦς· ὅ τι δ' ἂν ἐμβάλῃς εἰς ταύτην, ἐπὶ θαλάττης φαίνεσθαι τεττάρων ὄντων ἀνὰ μέσον σταδίων.

CLIV (170). Λύκον δὲ περὶ τὴν ἐν Μύλαις τῆς Σικελίας δένδρα φύεσθαι, διὰ μέσης δ' αὐτῆς ἀναθεῖν ὕδωρ τὸ μὲν ψυχρόν, τὸ δὲ τοὐναντίον.

CLV (171). Φανίαν δὲ τὴν τῶν Τυράκων λίμνην ὅταν ἀναξηρανθῇ κάεσθαι.

2. ἰοῦσθαι Meursius μειοῦσθαι cod. | 4. ὀρνίθων cod. ὀρνέων paradoxographus Vaticanus c. 14, idem coni. Bast. | 6. mg.: σημειοῦ τὴν αἰτίαν, δι' ἣν τὴν Ἄορνιν λίμνην οὐχ ὑπερίπταται πτηνόν. — ἀορνέ τιν cod. | 9. κατὰ τύχην cod. 10. λέγειν cod. | 17. καί τοι cod. | 18. ταύτην | αὐτήν W., cf. ann. Austr. p. 130. | 23. Πυράκων W. et cod. Τυράκων nos ex Vibio Sequestri. Πυρραίων Meursius Συράκων Bentley. | 24. κάιεσθαι cod.

CLVI (172). *Καὶ τὴν Ἀσκανίαν πότιμον οὖσαν τὸ προσενεχθὲν αὐτῇ πλύνειν ἄνευ ῥύμματος, ἐὰν ἐαθῇ δ' ἐν αὐτῇ πλείω χρόνον, διαπίπτειν αὐτόματον.*

CLVII (173). *Περὶ δὲ τὴν ἐν Κιττίῳ φάσκειν Νικαγόραν ὅτι ἀνιμηθείσης ἐπ' ὀλίγον τῆς γῆς ἅλες εὑρίσκονται.*

CLVIII (174). *Περὶ δὲ τῶν ἄλλων ὑδάτων Θεόφραστόν φησι τὸ καλούμενον Στυγὸς ὕδωρ λέγειν, ὅτι ἐστὶν ἐν Φενεῷ, στάζει δ' ἔκ τινος πετριδίου· τοὺς δὲ βουλομένους αὐτοῦ ὑδρεύεσθαι σπόγγοις πρὸς ξύλοις δεδεμένοις λαμβάνειν, διακόπτειν δὲ πάντα τὰ ἀγγεῖα πλὴν τῶν κερατίνων, τὸν δὲ ἀπογευσάμενον τελευτᾶν.*

CLIX (175). *Ἐν δὲ τῇ Λεοντίνων ἱστορεῖν Λύκον τοὺς ὀνομαζομένους ⟨Δείλλους⟩ ἀναζεῖν μὲν ὡς θερμότατον τῶν ἑψομένων, τὰς δὲ πηγὰς ἔχειν ψυχράς. τῶν δὲ πλησιαζόντων αὐτοῖς τὸ μὲν τῶν ὀρνίθων γένος ἀποθνήσκειν εὐθύς, τοὺς δὲ ἀνθρώπους μετὰ τρίτην ἡμέραν.*

CLX (176). *Ὅμοιον δὲ τούτῳ καὶ τὸ περὶ τὸν Κώων χύτρινον γίνεσθαι· καὶ γὰρ ἐκεῖνον ἀτμὸν μὲν ἐκβάλλειν καὶ ποιεῖν ἔμφασιν τοῦ ζεῖν, τὰ δὲ καθειμένα καθ' ὑπερβολὴν ψύχειν.*

5. *τῆς*] *τὴν* Hemsterhusius. — *Κιττίῳ* Meursius *κιττῶι* cod. — *φασὶν* cod. *φησι* Westermann *φάσκειν* Bentley. | 6. *ἀνειμηθείσης* cod. | 8 mg.: *σημειοῦ περὶ τοῦ τῆς Στυγὸς ὕδατος.* — *περὶ τῶν αὐτῶν ὑδάτων* cod., corr. Linck. | 9. *φασὶ* cod., emend. Bentley. | 10. *φοινίῳ* cod., emend. Meursius. | 16. *Δείλλους* add. Meursius. — *ἀναζῆν* cod. | 17. *ἔχειν* cod., ann. Austr. p. 130, *εἶναι* W. | 24. *τοῦ ζεῖν* Bentley, *τοζιον.* — cod., *ζ* in erasa *ξ*.

θεῖσαν ἐν ἐκείνῃ φανῆναι. τοῦτο δ' ἱστορεῖ καὶ Τίμαιος.

CXLI (156). Θεόπομπον δέ φησιν γράφειν τῆς μὲν ἐν Κίγχρωψ[ωσ]ιν τοῖς Θρᾳξὶν τὸν ἀπογευσάμενον τελευτᾶν εὐθύς.

CXLII (157). Ἐν Σκοτούσσῃ δ' εἶναι κρηνίδιον οὐ μόνον ἀνθρώπων ἕλκη, ἀλλὰ καὶ βοσκημάτων ὑγιάζειν δυνάμενον· κἂν ξύλον δὲ σχίσας ἢ θραύσας ἐμβάλῃς συμφύειν.

CXLIII (158). Ἐκ δὲ τῆς περὶ Χαονίαν, ὅταν ἀφεψηθῇ τὸ ὕδωρ, ἅλας γίνεσθαι.

CXLIV (159). Τῶν δ' ἐν Ἄμμωνι κρηνῶν λέγειν Ἀριστοτέλη, ὅτι τὴν μὲν Ἡλίου γε νομιζομένην μέσων μὲν νυκτῶν καὶ μεσημβρίας γίγνεσθαι θερμήν, ἕωθεν δὲ καὶ δείλης καθαπερεὶ κρύσταλλον, ἡ δ' ἄλλη διότι ἀναβαίνοντος μὲν ἡλίου πιδύει, ἐπὶ δυσμαῖς δ' ἰόντος ἵσταται.

CXLV (160). Κτησίαν δὲ τὴν ἐν Αἰθιοπίᾳ τὸ μὲν ὕδωρ ἔχειν ἐρυθρόν, ὡσανεὶ κιννάβαρι, τοὺς δ' ἀπ' αὐτῆς πιόντας παράφρονας γίνεσθαι. τοῦτο δ' ἱστορεῖ καὶ Φίλων ὁ τὰ Αἰθιοπικὰ συγγραψάμενος.

CXLVI (161). Τὴν δ' ἐν τοῖς Ἰνδικοῖς κρήνην Σίλαν οὐδὲ τὸ κουφότατον τῶν βληθέντων ἐᾶν ἐπιμένειν, ἀλλὰ πάντα καθέλκειν. καὶ ταῦτα δὲ πλείους εἰρήκασιν καὶ ἐπὶ πλειόνων ὑδάτων.

3. τὴν cod. τῆς W. | 4. κιγχρωψωσιν cod. | 6. κρηνίδιον . . . δυνάμενον Bentley ex Pseudoaristotelis mirab. ausc. c. 117. κρήνην ἰδίαν . . . δυναμένην cod. | 16. καταβαίνοντος cod. ἀναβαίνοντος Voss. — πηγνύειν cod. πιδύει (πηδύει) Voss. | 23. Σίλαν — ἐᾶν] ϊλανουδεγοκουφατατοὐτωνβληθέντωναιαν cod. — ἐμβληθέντων W. | 24. ἐπιμένειν cod. ἐπιπλεῖν Bast.

καίεσθαι βέλτιον, ἐὰν δὲ φορυτὸν ἐπιβαλὼν πήξῃ τις σβέννυσθαι.

CLXVII (183). Παραπλήσιον δὲ τούτῳ ὁρᾶται γινόμενον ἐπὶ ⟨Ἀκραγαντίνου⟩ ἁλός· ἐδωρήσατο γὰρ ἡμῖν Σικελὸς ξένος τοιοῦτον, ὃ⟨ς⟩ ἐν μὲν τῷ πυρὶ ἐτήκετο, ἐν δὲ τῷ ὕδατι ἥλλετο.

CLXVIII (184). ... Περὶ δὲ λίθων τὸν αὐτὸν τοῦτον λέγειν τὸν παρὰ τοῖς Βοττιαίοις ἐν Θράκῃ γινόμενον, ὅταν ὁ ἥλιος προσβάλλῃ, πῦρ ἐξ αὐτοῦ ἐκθυμιᾶσθαι· ἐκεῖ δ' εἶναι ⟨καὶ⟩ παρεχομένους μὲν τὴν τῶν ἀνθράκων χρείαν, διαμένοντας δ' ἀφθάρτους, κἂν σβέσαντες πάλιν ἐπικεχειρήκωσιν, τὴν αὐτὴν ἐνέργειαν συντελεῖν.

CLXIX (185). Περὶ δὲ φυτῶν τῆς ἀκάνθου εἶδος Ἀριστοτέλην φάσκειν περὶ τὴν Ἐρύθην ἀνευρίσκεσθαι διαποίκιλον τὴν χρόαν, ἐξ οὗ πλῆκτρα γίνεσθαι. Τίμων δὲ ὁ κιθαρῳδὸς εἶχεν καὶ ἐπεδείκνυεν πολλοῖς, φάσκων αὐτῷ τὸν διδάσκαλον Ἀρ⟨ισ⟩τοκλῆν δεδωρῆσθαι, εἶναι δ αὐτῶν τὴν ἀφὴν ἐν τῇ χρείᾳ σκληράν.

CLXX (186). Περὶ δὲ Θεσπρωτοὺς ἐκ τῆς γῆς ἄνθρακας ὀρύττεσθαι δυναμένους κάεσθαι Θεόπομπόν φησιν καταγράφειν.

1. φορυτὸν Salmasius ex Solino et Ctesia. — πήξῃ τίς cod. πνίξῃ τις Bentley. | 5. ὃ cod. | 7. lacunam statuimus l. c. p. 131 cf. etiam H. de Rohden, de mundi miraculis p. 31. | 10. ἐκθυμιᾶται cod. — ἐκεῖνος δ' ἵνα παρέχῃ, γνοὺς μὲν τὴν τῶν ἀνθράκων χροιὰν, διαμένοντας ἀφθάρτους, κἂν σβέσας τί πάλιν ἐπικεχειρήκασιν τὴν αὐτὴν ἐνέργειαν συντελεῖν. cod., cf. ann. Austr. p. 131. | 14. φυτῶν Bentley, τούτων cod. — ἀκάνθης εἶδος Bentley ἀκάνθου εἶδος W. ακανθεισας cod. | 15. ἐρυθηναν, εὑρίσκεσθαι cod., emend. O. Schneider ex Stephano. | 19. ἀρτοκλῆν cod., emend. Niclas.

γίγνηται τοῦτο, παρὰ τοῖς ἐντὸς τριάκοντα σταδίων οἰκοῦσιν ἰοῦσθαι χαλκώματα.

CLII (167). Τὴν δὲ ἐν τοῖς Σαρμάταις λίμνην Ἡρακλείδην γράφειν, ὅτι οὐδὲν τῶν ὀρνέων ὑπεραίρειν, τὸ δὲ προσελθὸν ὑπὸ τῆς ὀσμῆς τελευτᾶν· ὃ δὴ καὶ περὶ τὴν Ἀορνῖτιν δοκεῖ γίγνεσθαι καὶ κατίσχυκεν ἡ φήμη παρὰ τοῖς πλείστοις. (168). ὁ δὲ Τίμαιος τοῦτο μὲν ψεῦδος ἡγεῖται εἶναι· τὰ πλεῖστα γὰρ κατατυχεῖν τῶν εἰθισμένων παρ' αὐτῇ διαιτᾶσθαι· ἐκεῖνο μέντοι λέγει, διότι συνδένδρων τόπων ἐπικειμένων αὐτῇ καὶ πολλῶν κλάδων καὶ φύλλων διὰ τὰ πνεύματα τῶν μὲν κατακλωμένων, τῶν δὲ ἀποσειομένων, οὐδέν ἐστιν ἰδεῖν ἐπ' αὐτῇ ἐφεστηκός, ἀλλὰ διαμένειν καθαράν.

CLIII (169). Ἐκ δὲ τῆς ἐν Ζακύνθῳ λίμνης φησὶν Εὔδοξον ἱστορεῖν, ὅτι ἀναφέρεται πίσσα, καίτοι παρεχούσης αὐτῆς ἰχθῦς· ὅ τι δ' ἂν ἐμβάλῃς εἰς ταύτην, ἐπὶ θαλάττης φαίνεσθαι τεττάρων ὄντων ἀνὰ μέσον σταδίων.

CLIV (170). Λύκον δὲ περὶ τὴν ἐν Μύλαις τῆς Σικελίας δένδρα φύεσθαι, διὰ μέσης δ' αὐτῆς ἀναθεῖν ὕδωρ τὸ μὲν ψυχρόν, τὸ δὲ τοὐναντίον.

CLV (171). Φανίαν δὲ τὴν τῶν Τυράκων λίμνην ὅταν ἀναξηρανθῇ κάεσθαι.

2. *ἰοῦσθαι* Meursius *μειοῦσθαι* cod. | 4. *ὀρνῖθων* cod. *ὀρνέων* paradoxographus Vaticanus c. 14, idem coni. Bast. | 6. mg.: *σημειοῦ τὴν αἰτίαν, δι' ἣν τὴν Ἀορνιν λίμνην οὐχ ὑπερίπταται πτηνόν.* — *ἀορνεῖτιν* cod. | 9. *κατὰ τύχην* cod. | 10. *λέγειν* cod. | 17. *καί τοι* cod. | 18. *ταύτην*] *αὐτήν* W., cf. ann. Austr. p. 130. | 23. *Πυράκων* W. et cod. *Τυράκων* nos ex Vibio Sequestri. *Πυρραίων* Meursius *Συράκων* Bentley. | 24. *καΐεσθαι* cod.

Quae desunt, suppleri possunt ex Aeliani historia animalium VII 16.

CLXXIV (190). *Ἀντίγονος τὸ ἐν Ἱεραπόλει θερμὸν ὕδωρ πάντα ἀπολιθοῦν φησι, καὶ αὐτὸ δὴ πήσσεσθαι καὶ λίθον γίνεσθαι.* paradoxographus Vaticanus c. 12.

CLXXV (191). *Ὁ δὲ Ἀντίγονός φησι τὸ θηλύγονον καὶ ἀρρενόγονον βοτάνας εἶναι, ἀπὸ δὲ τοῦ συμβεβηκότος τὴν ἐπωνυμίαν εἰληφέναι· τὸν μὲν γὰρ αὐτὸν ποιεῖν τὰς* (sic) *θηλύνεσθαι δὲ τρίβολον ἐν οἴνῳ ἀπὸ πρωΐ καὶ ταῦτα μὲν ἐπί τε συλλήψεως καὶ κυήσεως· ἐπὶ δὲ τῆς εἰνάτης ἰσχυροποιῆσθαι καὶ ἀφὴν ὑπομένειν· τῇ δὲ τεσσαρακοστῇ προσλαμβάνειν τὸ γελαστικὸν καὶ ἄρχεσθαι ἐπιγινώσκειν μητέρα.* Crameri anecd. Paris. I p. 391. cf. c. 111 (120) et 113 (123).

ΑΠΟΛΛΩΝΙΟΥ

ΙΣΤΟΡΙΑΙ ΘΑΥΜΑΣΙΑΙ.

I. *Βώλου· Ἐπιμενίδης Κρὴς λέγεται ὑπὸ τοῦ πατρὸς καὶ τῶν ἀδελφῶν τοῦ πατρὸς ἀποσταλεὶς εἰς ἀγρόν, πρόβατον ἀγαγεῖν εἰς τὴν πόλιν, καταλαβούσης αὐτὸν νυκτὸς παραλλάξαι τῆς τρίβου καὶ κατακοιμηθῆναι ἔτη ἑπτὰ καὶ πεντήκοντα, καθάπερ ἄλλοι τε πολλοὶ εἰρήκασιν, ἔτι ⟨δὲ⟩ καὶ Θεόπομπος ἐν ταῖς ἱστορίαις ἐπιτρέχων τὰ κατὰ τόπους θαυμάσια. ἔπειτα συμβῆναι ἐν τῷ μεταξὺ χρόνῳ, τοὺς μὲν οἰκείους τοῦ Ἐπιμενίδου ἀποθανεῖν, αὐτὸν δὲ ἐγερθέντα ἐκ τοῦ ὕπνου ζητεῖν ἐφ' ὃ ἀπεστάλη πρόβατον, μὴ εὑρόντα δὲ πορεύεσθαι εἰς τὸν ἀγρόν (ὑπελάμβανεν δὲ ἐγηγέρθαι τῇ αὐτῇ ἡμέρᾳ ἥπερ ἔδοξεν κεκοιμῆσθαι), καὶ καταλαβὼν τὸν ἀγρὸν πεπραμένον καὶ τὴν σκευὴν ἠλλαγμένην ἀπαίρειν εἰς τὴν πόλιν. καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν ἐκεῖθεν πάντα ἔγνω, ἐν οἷς καὶ τὰ περὶ τοῦ χρόνου καθ' ὃν ἀφανὴς ἐγένετο. λέγουσι δὲ οἱ Κρῆτες, ὥς φησιν ὁ Θεόπομπος, ἔτη βιώσαντα αἰ-*

1. *Βώλου Ἐπιμενίδης* W., nec vero Boli filius fuit Epimenides, sed Bolus Mendesius scripsit *περὶ θαυμασίων*, e quo libro fortasse haec hausta sunt. | 16. *δὲ* inserit H.

μαθήματα καὶ τοὺς ἀριθμούς, ὕστερον δέ ποτε καὶ τῆς Φερεκύδου τερατοποιίας οὐκ ἀπέστη. καὶ γὰρ ἐν Μεταποντίῳ πλοίου εἰσερχομένου φορτίον ἔχοντος καὶ τῶν παρατυχόντων εὐχομένων σωστὸν κατελθεῖν διὰ τὸν [φόρτον, ἑστῶτα τοῦτον εἰπεῖν »νεκρὸν τοίνυν φανήσεται ὑμῖν σῶμα ἄγον τὸ πλοῖον τοῦτο.« πάλιν δ' ἐν Καυλωνίᾳ, ὥς φησιν Ἀριστοτέλης . . . γράφων περὶ αὐτοῦ πολλὰ μὲν καὶ ἄλλα λέγει καί, τὸν ἐν Τυρρηνίᾳ, φησίν, δάκνοντα θανάσιμον ὄφιν αὐτὸς δάκνων ἀπέκτεινεν. καὶ τὴν γινομένην δὲ στάσιν τοῖς Πυθαγορ⟨ε⟩ίοις προειπεῖν. διὸ καὶ εἰς Μεταπόντιον ἀπῆρεν ὑπὸ μηδενὸς θεωρηθείς, καὶ ὑπὸ τοῦ Κόσα ποταμοῦ διαβαίνων σὺν ἄλλοις ἤκουσε φωνὴν μεγάλην ὑπὲρ ἄνθρωπον »Πυθαγόρα χαῖρε.« τοὺς δὲ παρόντας περιδεεῖς γενέσθαι. ἐφάνη δέ ποτε καὶ ἐν Κρότωνι καὶ ἐν Μεταποντίῳ τῇ αὐτῇ ἡμέρᾳ καὶ ὥρᾳ. ἐν θεάτρῳ δὲ καθήμενός ποτε ἐξανίστατο, ὥς φησιν Ἀριστοτέλης, καὶ τὸν ἴδιον μηρὸν παρέφηνε τοῖς καθημένοις [εἰς] χρυσοῦν. λέγεται δὲ περὶ αὐτοῦ καὶ ἄλλα τινὰ παράδοξα. ἡμεῖς δὲ μὴ βουλόμενοι μεταγραφέων ἔργον ποιεῖν αὐτοῦ τὸν λόγον καταπαύσομεν.

VII. Ἀριστοτέλης δ' ἐν τοῖς φυσικοῖς προβλή-

3. ἐν Μεταποντίῳ πλοίου εἰσερχομένου Rose τῶ ποντίου πλοίῳ εἰσερχομένῳ cod. τῳ Μεταπόντιον πλοίῳ εἰσερχομένῳ Teucher. — ἔχοντι cod. | 5. κατελθεῖν cod. εἶναι καὶ ἐλθεῖν Teucher. | 6. νεκρόν Meursius ex Iamblicho μικρὸν cod. | 13. Κόσα] κατὰ σάμον cod. corr. Rose. | 18. ἐξανίσταται cod. corr. H. | 19. παρέφαινε cod. παρέφηνε Rose ex Aeliano. | 20. παρακαθημένοις Rose. — εἰς] aut delendum aut ὡς scribendum esse censet Rittershus, delet W.

μασιν τοὺς περὶ τὴν φυτείαν τῆς κριθῆς γινομένους χλωρότερα ἴσχειν καὶ τὰ σώματα μᾶλλον ἢ περὶ τὸν πυρὸν κατασχολουμένους.

VIII. Ἄβρων ἐν τῇ δ τῶν πρὸς Φίλιππον θυσιῶν· κορώνη ἐν τῇ Ἀττικῇ εἰς τὴν ἀκρόπολιν οὐδεμία ἐώραται εἰσερχομένη, καθάπερ οὐδὲ ἐν Πάφῳ περὶ τὰ θυρώματα τὰ τῆς Ἀφροδίτης μυῖα ἐφιπταμένη.

IX. Ἀριστοτέλης δὲ ἐν τοῖς φυσικοῖς προβλήμασί φησιν· οἱ μονοσιτοῦντες πικρότερα τὰ ἤθη ἔχουσιν μᾶλλον ἢ οἱ δὶς τροφαῖς χρώμενοι.

X. Θεόπομπος δὲ ἐν τοῖς θαυμασίοις, ἐν τῷ ἀγῶνι τῶν Ὀλυμπίων πολλῶν ἐπιπολαζόντων ἰκτίνων ἐν τῇ πανηγύρει καὶ διασυριζόντων τὰ διαφερόμενα κρέα ⟨τὰ⟩ τῶν ἱεροθυτῶν ἀθιγῆ μένειν.

XI. Ἀριστοτέλης δὲ ἐν νομίμοις βαρβαρικοῖς· ⟨ἐν Λάτμῳ⟩ τῆς Καρίας σκορπίοι γίνονται, οἳ τοὺς μὲν ξένους πατάξαντες οὐ λίαν ἀδικοῦσι, τοὺς δὲ ἐπιχωρίους παρ' αὐτὰ ἀποκτείνουσιν.

XII. Περὶ Βαβυλῶνα δὲ διαβάντι τὸν Εὐφράτην ποταμὸν ὀφίδια γίγνεται, καὶ τοὺς μὲν ξένους τύπτει, τοὺς δ' ἐντοπίους οὐκ ἀδικεῖ.

XIII. ... ἐν τῷ κατὰ τόπους μυθικῷ· ἐν Ἁλικαρνασσῷ θυσίας τινὸς τῷ Διὶ τῷ Ἀσκραίῳ συντελουμένης ἀγέλην αἰγῶν ἄγεσθαι πρὸ τοῦ ἱεροῦ καὶ ἵστασθαι· τῶν δὲ κατευχῶν συντελεσθεισῶν προβαίνειν μίαν αἶγα ὑπὸ μηδενὸς ἀγομένην καὶ προσ-

4. Ἄνδρων cod. Ἄβρων Meineke exercit. critic. in Athen. I. p. 35. — δὲ add. Ideler. | 8. ἐφισταμένη cod., emend. Leopardi. | 15. τῶν ἱεροθύτων cod. corr. H. | 17. ἐν Λάτμῳ add. Teucher ex Antigono. | 19. ἀποκτένουσιν cod. | 23. fort. excidit Φύλαρχος.

τὸν ἑκατὸν πεντήκοντα ⟨καὶ ἑπτὰ⟩ ἀποθανεῖν. λέγεται δὲ περὶ τοῦ ἀνδρὸς τούτου καὶ ἄλλα οὐκ ὀλίγα παράδοξα.

II. Ἀριστέαν δὲ ἱστορεῖται τὸν Προκοννήσιον ἔν τινι γναφείῳ τῆς Προκοννήσου τελευτήσαντα ἐν τῇ αὐτῇ ἡμέρᾳ καὶ ὥρᾳ ἐν Σικελίᾳ ὑπὸ πολλῶν θεωρηθῆναι γράμματα διδάσκοντα, ὅθεν πολλάκις αὐτῷ τοῦ τοιούτου συμβαίνοντος καὶ περιφανοῦς γιγνομένου διὰ πολλῶν ἐτῶν καὶ πυκνότερον ἐν τῇ Σικελίᾳ φανταζομένου οἱ Σικελοὶ ἱερόν τε καθιδρύσαντο αὐτῷ καὶ ἔθυσαν ὡς ἥρωϊ.

III. Περὶ δὲ Ἑρμοτίμου τοῦ Κλαζομενίου τοιαῦτά τινα μυθολογεῖται. φασὶν γὰρ αὐτοῦ τὴν ψυχὴν ἀπὸ τοῦ σώματος πλαζομένην ἀποδημεῖν ἐπὶ πολλὰ ἔτη καὶ κατὰ τόπους γινομένην προλέγειν τὰ μέλλοντα ἀποβήσεσθαι, οἷον ὄμβρους μεγάλους καὶ ἀνομβρίας, ἔτι δὲ σεισμούς τε καὶ λοιμοὺς καὶ παραπλήσια, τοῦ σωματίου κειμένου, τὴν δὲ ψυχὴν καθάπερ εἰς ἕλυτρον διὰ χρόνων τινῶν εἰσερχομένην διεγείρειν τὸ σῶμα. τοῦτο δὲ αὐτοῦ πολλάκις ποιοῦντος καὶ τῆς γυναικὸς ἐντολὰς ὑπ' αὐτοῦ ἐχούσης, ὅτε μέλλοι χωρίζεσθαι, μηδένα θιγεῖν τοῦ σωματίου μήτε τινὰ τῶν πολιτῶν μήτ' ἄλλον ἄνθρωπον, εἰσελθόντες τινὲς εἰς τὴν οἰκίαν καὶ ἐκλιπαρήσαντες τὸ γύναιον ἐθεώρησαν χαμαὶ κείμενον γυμνὸν τὸν Ἑρμότιμον ἀκίνητον. οἱ δὲ πῦρ λαβόντες κατέκαυσαν αὐτόν,

1. καὶ ἑπτὰ inserit Wichers, cf. Theopompi fragm. (ed. C. Müller) p. 288. | 5. προκοννήσιον cod., ι ab alt. manu. | 6. προκοννήσου cod., ι ab alt. manu. | 9. συμβαίνοντος cod. | 24. μηδέ . . . μηδ' . . . ἀνθρώπων cod. corr. H.

Ἰνδικῆς φησιν ἐνεχθῆναι λευκὴν ῥίζαν, ἣν κόπτοντας μεθ' ὕδατος καταπλάττειν τοὺς πόδας, τοὺς δὲ καταπλασθέντας ἄνδρας τῆς συνουσίας λήθην ἴσχειν καὶ γίγνεσθαι ὁμοίους εὐνούχοις. διὸ καὶ ἔτι ἀνήβων ὄντων καταχρίουσι καὶ μέχρι θανάτου οὐκ ἐπαίρουσιν.

XIX. Μεγακλείδης δὲ ὁ κριτικὸς ἐν τῷ περὶ τῶν ἐν τῇ Ἑλλάδι πόλεων κατὰ τὸ Πήλιον ὄρος φύεσθαί φησιν ἄκανθαν καρποφόρον, ἧς τὸν καρπὸν ἐάν τις τρίψας μετ' ἐλαίου καὶ ὕδατος χρίσῃ τὸ αὐτοῦ ἢ ἄλλου σῶμα χειμῶνος ὄντος, οὐκ ἐπαισθήσεται τοῦ ψύχους.

XX. Κτησίας δὲ ἐν τῇ δεκάτῃ Περσικῶν καμήλους τινὰς ἐν τῇ χώρᾳ γίγνεσθαι, ἃς ἔχειν τρίχας πρὸς Μιλήσια ἔρια τῇ μαλακότητι, ἐκ δὲ τούτων τοὺς ἱερεῖς καὶ τοὺς ἄλλους δυνάστας τὰς ἐσθῆτας φέρειν.

XXI. Τῶν παρατετηρημένων δ' ἐστὶ τὸ τὰ δίχηλα μόνα τῶν ζῴων εἰς τοὺς ὀπισθίους πόδας ἀστραγάλους ἔχειν. ἀποδέδωκεν τὴν αἰτίαν Ἀριστοτέλης ἐν τοῖς φυσικοῖς προβλήμασιν, διατί ἐν τοῖς ὀπισθίοις, καὶ οὐκ ἐμπροσθίοις. οὐδὲν γὰρ μάτην ἡ φύσις ἐποίησεν.

XXII. Συνῶπται δ' ἐν τῷ βίῳ καὶ τὸ μηδὲν τῶν κερασφόρων ζῴων ἀποψοφεῖν· ἀποδέδωκεν δὲ καὶ τούτων τὴν αἰτίαν Ἀριστοτέλης ἐν τοῖς προβλήμασιν.

1. κόπτοντες cod. corr. H. | 4. διὸ] διότι W. | 7. Μεγακλείδης C. Müller Ἡρακλείδης cod. — κριτικὸς Olearius κρητικὸς cod. | 11. ἐπησθήσεται cod. | 16. ἱεροὺς cod.

XXIII. *Θαυμαστὸν δὲ καὶ τὸν ἥλιον ἐπικαίειν ἡμᾶς, τὸ δὲ πῦρ μηδ' ὅλως, καὶ τὸ τὸν ἀδάμαντα μὴ θερμαίνεσθαι πυρούμενον, καὶ μάγνητα λίθον, ἡμέρας μὲν οὔσης ἕλκειν, νυκτὸς δὲ ἧττον ἢ οὐδὲ ὅλως ἕλκειν.*

XXIV. *Εὔδοξος ὁ Ῥόδιος περὶ τὴν Κελτικὴν εἶναί τι ἔθνος φησίν, ὃ τὴν ἡμέραν οὐ βλέπει, τὴν δὲ νύκτα ὁρᾷ.*

XXV. *Ἀριστοτέλης ἐν τῷ περὶ μέθης, Ἄνδρων, φησίν, Ἀργεῖος ἐσθίων πολλὰ καὶ ἁλμυρὰ καὶ ξηρὰ δι' ὅλου τοῦ βίου ἄδιψος καὶ ἄποτος διετέλεσεν, ἔτι δὲ πορευθεὶς εἰς Ἄμμωνα διὰ τῆς ἀνύδρου [ὁδοῦ] ἅλφιτα ξηρὰ σιτούμενος οὐ προσηνέγκατο ὑγρόν. [τοῦτο δὲ ἐποίησεν δι' ὅλου τοῦ βίου.]*

XXVI. *Ἀριστοτέλης δ' ἐν τῷ περὶ [τῆς] ζωῆς καὶ θανάτου φησὶν τὴν χελώνην στερισκομένην τῆς καρδίας ζῆν· οὐκ ἔτι δὲ διώρισεν ποίαν αὐτῶν [ἢ] τὴν χερσαίαν ἢ τὴν ἔνυδρον.*

XXVII. *Ἀριστοτέλης ἐν τοῖς ζωϊκοῖς (δύο γάρ εἰσιν αὐτῷ πραγματεῖαι, ἡ μὲν περὶ ζῴων, ἡ δὲ περὶ τῶν ζωϊκῶν), οἱ φθεῖρες, φησίν, ἐν τῇ κεφαλῇ ἐν ταῖς μακραῖς οὐ φθίνουσιν νόσοις, μελλόντων δὲ τελευτᾶν τῶν πασχόντων ἐπὶ τὰ προσκεφάλαια εὑρίσκονται, προλελοιπότες τὴν κεφαλήν.*

XXVIII. *Ἀριστοτέλης ἐν τοῖς ζωϊκοῖς, ὁ ῥύπος, φησίν, ἐν τοῖς σταρίοις γιγνόμενος, πικρὸς ὢν [ὅταν τελευτᾶν μέλλωσιν] ἐν ταῖς μακραῖς νόσοις γλυκὺς γίνεται. τοῦτο δέ, φησίν, παρατετήρηται*

7. *βλέπειν . . . ὁρᾶν* cod. corr. H. | 11. *ἄποτος* Meursius *ἄπιος* cod. | 23. vid. praef.

ἐπὶ πολλῶν γιγνόμενον. ἀποδέδωκεν δὲ καὶ τὴν αἰτίαν τοῦ γιγνομένου ἐν τοῖς φυσικοῖς προβλήμασιν.

XXIX. Θεόφραστος ἐν τῇ περὶ φυτῶν πραγματείᾳ, ἐὰν αἱ μῆτραι, φησίν, προπέσωσιν, ἀριστολοχίᾳ ἐν ὕδατι βεβρεγμένῃ καταντλείσθωσαν πλείονας ἡμέρας.

XXX. Ἀριστόξενος δὲ ὁ μουσικὸς ⟨τοὺς⟩ τεταρταίζοντας τὴν ἐλξίνην φησὶν βοτάνην μετὰ ἐλαίου τριβομένην καὶ συγχριομένην πρὸ τῆς λήψεως ἀπολύειν τοῦ πάθους.

XXXI. Θεόφραστος ἐν τῷ περὶ φυτῶν, τὰ πρόβατα, φησίν, τὰ ἐν τῷ Πόντῳ τὸ ἀψίνθιον νεμόμενα οὐκ ἔχει χολήν.

XXXII. Θεόφραστος ἐν τῷ περὶ φυτῶν ἐν Ἰνδοῖς μὴ γίνεσθαι μήτε ἐρέβινθον μήτε φακὸν μήτε κύαμον.

XXXIII. Ἔτι Θεόφραστος ἐν τῷ $\overline{\zeta}$ περὶ φυτῶν, τῆς Βακτριανῆς [ὁδοῦ] ἔν τισι κώμαις πυρὸν γίγνεσθαι οὕτως εὐγενῆ, ὥστε πυρῆνος ἐλαίας τὸ μέγεθος ἴσχειν.

XXXIV. Ὁ αὐτὸς φιλόσοφος, ἐν Ὀλύνθῳ καὶ Κηρίνθῳ γῇ μιγνυμένη, φησί, τῷ σίτῳ εὐγενέστερον ποιεῖ φαίνεσθαι τοῦτον.

XXXV. Τῶν παρατετηρημένων ἐστὶν [δὲ] καὶ τοῦτο, τὰς ἐγκύους τῶν γυναικῶν συνεχῶς πλησιαζούσας τοῖς ἀνδράσιν εὐκόπως καὶ ἀκακοπαθήτως τίκτειν. εἴρηκεν δὲ τοῦτο καὶ Ἀριστοτέλης ἐν τῇ $\overline{\imath\delta}$ τῶν ἱστοριῶν.

4. ἀριστολοχίαν . . . βεβρεγμένην cod. corr. H. | 21. Ὀλυμπίᾳ καὶ ζακύνθῳ δημιγνυμένη cod., emend. Meursius ex Theophrasto. | 24. . ἔστιν cod.

XXIII. *Θαυμαστὸν δὲ καὶ τὸν ἥλιον ἐπικαίειν ἡμᾶς, τὸ δὲ πῦρ μηδ' ὅλως, καὶ τὸ τὸν ἀδάμαντα μὴ θερμαίνεσθαι πυρούμενον, καὶ μάγνητα λίθον, ἡμέρας μὲν οὔσης ἕλκειν, νυκτὸς δὲ ἧττον ἢ οὐδὲ ὅλως ἕλκειν.*

XXIV. *Εὔδοξος ὁ Ῥόδιος περὶ τὴν Κελτικὴν εἶναί τι ἔθνος φησίν, ὃ τὴν ἡμέραν οὐ βλέπει, τὴν δὲ νύκτα ὁρᾷ.*

XXV. *Ἀριστοτέλης ἐν τῷ περὶ μέθης, Ἄνδρων, φησίν, Ἀργεῖος ἐσθίων πολλὰ καὶ ἁλμυρὰ καὶ ξηρὰ δι' ὅλου τοῦ βίου ἄδιψος καὶ ἄποτος διετέλεσεν, ἔτι δὲ πορευθεὶς εἰς Ἄμμωνα διὰ τῆς ἀνύδρου [ὁδοῦ] ἅλφιτα ξηρὰ σιτούμενος οὐ προσηνέγκατο ὑγρόν. [τοῦτο δὲ ἐποίησεν δι' ὅλου τοῦ βίου.]*

XXVI. *Ἀριστοτέλης δ' ἐν τῷ περὶ [τῆς] ζωῆς καὶ θανάτου φησὶν τὴν χελώνην στερισκομένην τῆς καρδίας ζῆν· οὐκ ἔτι δὲ διώρισεν ποίαν αὐτῶν [ἢ] τὴν χερσαίαν ἢ τὴν ἔνυδρον.*

XXVII. *Ἀριστοτέλης ἐν τοῖς ζωϊκοῖς (δύο γάρ εἰσιν αὐτῷ πραγματεῖαι, ἡ μὲν περὶ ζῴων, ἡ δὲ περὶ τῶν ζωϊκῶν), οἱ φθεῖρες, φησίν, ἐν τῇ κεφαλῇ ἐν ταῖς μακραῖς οὐ φθίνουσιν νόσοις, μελλόντων δὲ τελευτᾶν τῶν πασχόντων ἐπὶ τὰ προσκεφάλαια εὑρίσκονται, προλελοιπότες τὴν κεφαλήν.*

XXVIII. *Ἀριστοτέλης ἐν τοῖς ζωϊκοῖς, ὁ ῥύπος, φησίν, ἐν τοῖς ὠταρίοις γιγνόμενος, πικρὸς ὢν [ὅταν τελευτᾶν μέλλωσιν] ἐν ταῖς μακραῖς νόσοις γλυκὺς γίνεται. τοῦτο δέ, φησίν, παρατετήρηται*

7. *βλέπειν . . . ὁρᾶν* cod. corr. H. | 11. *ἄποτος* Meursius *ἄπιος* cod. | 23. vid. praef.

ἐπὶ πολλῶν γιγνόμενον. ἀποδέδωκεν δὲ καὶ τὴν αἰτίαν τοῦ γιγνομένου ἐν τοῖς φυσικοῖς προβλήμασιν.

XXIX. Θεόφραστος ἐν τῇ περὶ φυτῶν πραγματείᾳ, ἐὰν αἱ μῆτραι, φησίν, προπέσωσιν, ἀριστολοχίᾳ ἐν ὕδατι βεβρεγμένῃ καταντλείσθωσαν πλείονας ἡμέρας.

XXX. Ἀριστόξενος δὲ ὁ μουσικὸς ⟨τοὺς⟩ τεταρταίζοντας τὴν ἑλξίνην φησὶν βοτάνην μετὰ ἐλαίου τριβομένην καὶ συγχριομένην πρὸ τῆς λήψεως ἀπολύειν τοῦ πάθους.

XXXI. Θεόφραστος ἐν τῷ περὶ φυτῶν, τὰ πρόβατα, φησίν, τὰ ἐν τῷ Πόντῳ τὸ ἀψίνθιον νεμόμενα οὐκ ἔχει χολήν.

XXXII. Θεόφραστος ἐν τῷ περὶ φυτῶν ἐν Ἰνδοῖς μὴ γίνεσθαι μήτε ἐρέβινθον μήτε φακὸν μήτε κύαμον.

XXXIII. Ἔτι Θεόφραστος ἐν τῷ ξ περὶ φυτῶν, τῆς Βακτριανῆς [ὁδοῦ] ἔν τισι κώμαις πυρὸν γίγνεσθαι οὕτως εὐγενῆ, ὥστε πυρῆνος ἐλαίας τὸ μέγεθος ἴσχειν.

XXXIV. Ὁ αὐτὸς φιλόσοφος, ἐν Ὀλύνθῳ καὶ Κηρίνθῳ γῆ μιγνυμένη, φησί, τῷ σίτῳ εὐγενέστερον ποιεῖ φαίνεσθαι τοῦτον.

XXXV. Τῶν παραπετηρημένων ἐστὶν [δὲ] καὶ τοῦτο, τὰς ἐγκύους τῶν γυναικῶν συνεχῶς πλησιαζούσας τοῖς ἀνδράσιν εὐκόπως καὶ ἀκακοπαθήτως τίκτειν. εἴρηκεν δὲ τοῦτο καὶ Ἀριστοτέλης ἐν τῇ ιδ τῶν ἱστοριῶν.

4. ἀριστολοχίαν . . . βεβρεγμένην cod. corr. H. | 21. ὁλυμπίᾳ καὶ ζακύνθῳ δημιγνυμένη cod., emend. Meursius ex Theophrasto. | 24. . ἔστιν cod.

XXXVI. ⟨Σώ⟩τακος ἐν τῷ περὶ λίθων, ὁ Καρύστιος, φησίν, λεγόμενος λίθος ἐπιφύσεις ἔχει ἐριώδεις καὶ γνοώδεις, ἐξ οὗ νήθεται καὶ ὑφαίνεται χειρεκμαγεῖα. στρέφουσι δὲ ἐξ αὐτοῦ καὶ ἐλλύχνια, καὶ ἔστιν καιόμενα λαμπρὰ καὶ ἀκατάπαυστα. τῶν δὲ ἐκμαγείων τῶν ὑπαινομένων ἡ πλύσις γίγνεται οὐ δι' ὕδατος, ἀλλὰ κληματὶς κάεται καὶ τότε τὸ ἐκμαγεῖον ἐπιτίθεται, καὶ ὁ μὲν ῥύπος ἀπορρεῖ, αὐτὸ δὲ λευκὸν καὶ καθαρὸν γίνεται ὑπὸ τοῦ πυρὸς καὶ πάλιν εἰς τὰς αὐτὰς ἐγχρήζει χρείας. τὰ δ' ἐλλύχνια μένει τὸν ἅπαντα χρόνον ἀκατάσβεστα καιόμενα μετ' ἐλαίου. δοκιμάζει δὲ καὶ τοὺς πτωματιζομένους ἡ ὀσμὴ τοῦ ἐλλυχνίου καιομένου. γίγνεται δὲ ὁ λίθος οὗτος καὶ ἐν Καρύστῳ μέν, ἀφ' οὗ καὶ τοὔνομα ἔλαβεν, πολὺ⟨ς⟩ δὲ ἐν Κύπρῳ, [καταβαινόντων] ἀπὸ τοῦ Γεράνδρου ὡς ἐπὶ Σόλους πορευομένοις ἐν ἀριστερᾷ ⟨τῶν⟩ τοῦ Ἐλμαίου ὑποκάτω πετρῶν. καὶ κατὰ τὸ πανσέληνον αὔξεται καὶ πάλιν φθίνοντος τοῦ σεληνίου μειοῦται καὶ ὁ λίθος.

XXXVII. Ἀριστοτέλης ἐν φυσικοῖς προβλήμασιν· τῶν κυρτῶν βαρεῖα ἡ ἀναπνοὴ διὰ τοῦ στόματος ἐξέρχεται. ἀποδέδωκεν δὲ καὶ τοῦ γιγνομένου τὴν αἰτίαν.

XXXVIII. Εὔδοξος δὲ ὁ Κνίδιος ἐν τῷ ξ̄ γῆς περιόδου φησὶν ἐπὶ πλεῖστον Λιβύης τι ἔθνος εἶναι,

1. τάκος cod., emend. Meursius e Plinio. — mg.: σημειοῦ περὶ τοῦ Καρυστίου λίθου καὶ λίνου. | 3. χροώδεις cod., emend. Leopardi. | 4. ἐνλυχνίαι cod. ἐν λυχνίᾳ Xylander ἐλλύχνια Leopardi. | 7. κλιματὶς cod. | 11. ἀκατασκεύαστα cod. emend. H. | 13. καιομένου, ιο in rasura? cod. | 15. πολὺ cod. | 17. ελμαίου cod. | 24. γῆς] τῆς cod. | 25. ἔστιν ἐπὶ πᾶσιν τῶν ἐν λιβύῃ cod. corr. Meursius et H.

ὃ ὑπεράνω Σύρτεών τε καὶ Καρχηδόνος πρὸς ἀνατολὰς κείμενον καλεῖται Γύζαντες· οἵτινες τέχνην ἐπιτηδεύουσιν τὰ ἄνθη συλλέγοντες τὰ ἐν τοῖς τόποις μέλι ποιεῖν τοσοῦτον καὶ τοιοῦτον, ὥστε γίγνεσθαι οἷον τὸ ὑπὸ τῶν μελισσῶν γιγνόμενον.

XXXIX. Ἀριστοτέλης ἐν ταῖς ἐκλογαῖς τῶν ἀνατομῶν φησιν· ὄφις ὤφθη ἐν Πάφῳ πόδας ἔχων δύο ὁμοίους χερσαίῳ κροκοδείλῳ.

XL. Ἀριστόξενος ὁ μουσικὸς ἐν τῷ Τελέστου βίῳ φησίν, ᾧπερ ἐν Ἰταλίᾳ συννεκύρησεν, ὑπὸ τὸν αὐτὸν καιρὸν γίγνεσθαι πάθη, ὧν ἓν εἶναι καὶ τὸ περὶ τὰς γυναῖκας γενόμενον ἄτοπον· ἐκστάσεις γὰρ γίγνεσθαι τοιαύτας, ὥστε ἐνίοτε καθημένας καὶ δειπνούσας, ὡς καλοῦντός τινος ὑπακούειν, εἶτα ἐκπηδᾶν ἀκατασχέτους γινομένας καὶ τρέχειν ἐκτὸς τῆς πόλεως. μαντευομένοις δὲ τοῖς Λοκροῖς καὶ Ῥηγίνοις περὶ τῆς ἀπαλλαγῆς τοῦ πάθους εἰπεῖν τὸν θεόν, παιᾶνας ᾄδειν ἐαρινοὺς [δωδεκάτης] ἡμέρας ξ̄. ὅθεν πολλοὺς γενέσθαι παιανογράφους ἐν τῇ Ἰταλίᾳ.

XLI. Θεόφραστος ἐν τῷ η̄ περὶ φυτῶν τὸ σκορπίον βοτάνιον (οἱ δὲ θηλυφόνον καλοῦσιν) ἐπιτιθέμενον τοῖς σκορπίοις ξηραίνειν αὐτοὺς εὐθέως.

XLII. Τῶν παρατετηρημένων ἐστὶ τὸ δυσκατούλωτα ἕλκη γίγνεσθαι ταῖς τε κυούσαις καὶ σπληνικοῖς καὶ τοῖς κιρσοὺς ἔχουσιν καὶ ταῖς γυναιξίν, ὅσαις ἴξίαι περὶ τοὺς μηροὺς ἔνεισιν.

1. τε] δὲ cod. | 2. κείμενοι οἳ καλοῦνται cod. corr. H. | 18. δωδεκατης cod., delevit C. Müller. | 20. τῶν cod. περὶ H. | 21. θηλύφωνον cod. | 26. ἰξίαις cod. — v. 26 in margine cod.: τοῖς παρ' ἐνίοις λεγόμενοι κιρσοῖς, τοῖς ἐν τοῖς σκέλεσιν, ὁμωνύμως τοῖς ἐν τοῖς δένδρεσιν, σημαίνει καὶ πόαν τινά·

XLIII. *Θεόφραστος ἐν τῷ περὶ φυτῶν· περὶ Σόλους τῆς Κιλικίας παρὰ τὸν ποταμὸν τὸν λεγόμενον Πίναρον, οὗ ἡ μάχη Ἀλεξάνδρου πρὸς Δαρεῖον ἐγένετο, αἱ ῥόαι ἀπύρ⟨ην⟩οι γίγνονται· δι' ὅλου δὲ ⟨ἐν Αἰγύπτῳ οἱ⟩ κόκκοι τὸ οἰνίζον ἔχουσιν.*

XLIV. *Ἀριστοτέλης ἐν τοῖς περὶ ζῴων, ἡ μέλισσα, φησίν, ἀποβάλλουσα τὸ κεντρίον ἀποθνήσκει, αἱ δὲ βαστάζουσιν ἔξω τοῦ σμηνιῶνος.*

XLV. *Τῶν παρατετηρημένων ἐστὶν καὶ τὸ τοῖς λευκοΐοις ἄνθεσιν ἢ στεφάνοις διὰ νυκτὸς λύχνους παρακαίεσθαι, ἵνα εἰς τὴν πρωΐαν ταῦτα παραμένῃ ἀμάραντα. ποιοῦσι δὲ τοῦτο οἱ στεφανηπλόκοι.*

XLVI. *Θεόφραστος ἐν τῇ ε̄ τῶν φυτικῶν αἰτιῶν φησιν τὰ κελύφ⟨ι⟩α τῶν κυάμων περὶ τὰς ῥίζας τῶν δένδρων περιτιθέμενα ξηραίνειν τὰ φυόμενα. καὶ αἱ κατοικίδιαι δὲ ὄρνιθες συνεχῶς ταῦτα ἐσθίουσαι ἄτοκοι γίγνονται. ὅθεν καὶ διὰ ταύτην τὴν αἰτίαν, τάχα δὲ καὶ δι' ἄλλας οἱ Πυθαγόρ⟨ε⟩ιοι ἀπηγορεύκασιν τῷ κυάμῳ χρῆσθαι· καὶ γὰρ πνευματοποιὸν καὶ δύσπεπτον, καὶ τοὺς ὀνείρους ταραγμένους ἡμῖν ἐμποιεῖ.*

XLVII. *Τὰ ὕδνα βροντῶν συνεχῶν γιγνομέ-*

ἢ καὶ χαμαιλέων καλεῖται. καὶ ἑτέρα ἐστί τίς, ἀφ' ἧς ὁ ἰξός. | 1. in margine cod. *ἀγνοεῖς ποῦ οἱ Σόλοι καὶ ποῦ ὁ Πίναρος ποταμός; τριῶν γὰρ ..... διάστημα ἀπέχει ἀπ' ἀλλήλων.* | 4. *ῥοαι ἄπυροι* cod., emend. Xylander. | 5. *ἐν Αἰγύπτῳ οἱ* supplevimus ex Theophrasto, cod. nil nisi *ϋ//ον* exhibet. | 9. *τὸ καὶ* cod. corr. H. | 12. *παραμένει* cod. | 14. *φυσικῶν* cod., emend. Meursius. | 15. *κέλυφα* cod., *κελύφια* Bast, *κελύφη* W. | 20. *καὶ* supra versum cod.

νων σκληρότερα γίγνεται, καθάπερ Θεόφραστος ἐν τοῖς περὶ φυτῶν εἴρηκεν.

XLVIII. Θεόφραστος ἐν τῷ περὶ φυτῶν φησίν· ἡ λιβανωτὶς βοτάνη συντιθεμένη μετὰ ἱματίων κωλύει σῆτας ἐγγίγνεσθαι.

XLIX. Ἄξια δ' ἐστὶν ἐπιστάσεως [τὰ εἰρημένα] ἃ Θεόφραστος ἐν τῷ περὶ ἐνθουσιασμῶν ἐξεῖπεν. φησὶ γὰρ ἐκεῖνος τὴν μουσικὴν πολλὰ τῶν ἐπὶ ψυχὴν καὶ τὸ σῶμα γιγνομένων παθῶν ἰατρεύειν, καθάπερ λιποθυμίαν, φόβους καὶ τὰς ἐπὶ μακρὸν γιγνομένας τῆς διανοίας ἐκστάσεις. ἰᾶται γάρ, φησίν, ἡ καταύλησις καὶ ἰσχιάδα καὶ ἐπιληψίαν, καθάπερ πρὸς Ἀριστόξενον τὸν μουσικὸν ἐλθόντα (χρήσασθαι αὐτὸν τῷ μαντ⟨ε⟩ίῳ τῷ τῆς Πασιφάης ἢ Λάκωσι καὶ Δάφνῃ λέγεται) ... τὸν μουσικὸν καταστῆσαι τὸν ἐξιστάμενον ἐν Θήβαις ὑπὸ τὴν τῆς σάλπιγγος φωνήν· ἐπὶ τοσοῦτον γὰρ ἐβόησεν ἀκούων ὥστε ἀσχημονεῖν· εἰ δέ ποτε καὶ πολεμικὸν σαλπίσειέ τις, πολὺ χεῖρον πάσχειν μαινόμενον. τοῦτον οὖν κατὰ μικρὸν τῷ αὐλῷ προσάγων, καὶ ὡς ἄν τις εἴποι ἐκ προσαγωγῆς ἐποίησεν καὶ τὴν τῆς σάλπιγγος φωνὴν ὑπομένειν. θεραπεύει δὲ ἡ καταύλησις καὶ ἐάν τι μέρος τοῦ σώματος ἐν ἀλγήματι ὑπάρχῃ· καταυλουμένου τοῦ σώματος καταύλησις γιγνέσθω ἡμέρας ε̄ ὡς ἐλά-

2. τοῖς] τῷ Ideler. | 6. ἄξια δ' ἐστὶν ἐπιστάσεως ab antecedente capite post Teucherum seiunxit Leopardi, idem τὰ εἰρημένα delevit et ἐξεῖπεν cum Teuchero posuit pro codicis ἐξειπεῖν. | 7. ἐνθουσιασμοῦ Meursius. | 14. τοῦ μαντίου τοῦ cod. | 15. πασιφίλης: δαμωτι ἀδελφῆς cod. Πασιφάης Meursius ἢ Λάκωσι καὶ Δάφνῃ C. Müller; nos lacunam statuimus. | 19. μαινόμενον Leopardi μαχόμενον cod. | 20. προσάγειν cod. προσάγων Leopardi. | 25. ε̄ ὡς Meursius, ἑως cod.

δὲ καρτερήσασα πλείονα χρόνον διὰ τὸ θαυμαστὸν τῆς φαντασίας τρέχει πρὸς τὴν μητέρα, καὶ βοήσασα μεγάλῃ τῇ φωνῇ 'Χαριτοῖ' καὶ 'Δημόστρατε', ᾤετο δεῖν ἀναστάντας ἐπὶ τὴν θυγατέρα αὐτοὺς μετ' αὐτῆς πορεύεσθαι· πεφηνέναι γὰρ ζῶσαν, εἶναί τε μετὰ τοῦ ξένου διά τινα θείαν βούλησιν ἐν τῷ ξενῶνι. τῆς δὲ Χαριτοῦς παράδοξον λόγον ἀκουούσης συνέβη τὴν ψυχὴν τὸ μὲν πρῶτον ἐκπλαγῆ γενομένην ἐκλυθῆναι διὰ τὸ μέγεθος τῆς ἀγγελίας καὶ διὰ τὴν ταραχὴν τῆς τροφοῦ, μετὰ μικρὸν δὲ μνησθεῖσαν τῆς θυγατρὸς κλαίειν, τὰ δὲ ἔσχατα καταγνῶναι τῆς πρεσβύτιδος μανίαν, κελεύειν τε ἀπαλλάττεσθαι ἀπ' αὐτῆς ταχέως. ὀνειδιζούσης δὲ τῆς τροφοῦ καὶ λεγούσης μετὰ παρρησίας, ὡς ⟨αὐτὴ⟩ μὲν φρονεῖ τε καὶ ὑγιής ἐστιν, ἡ δὲ δι' ὄκνον οὐ βούλοιτο τὴν ἰδίαν θυγατέρα ἰδεῖν, μόλις ἡ Χαριτὼ τὰ μὲν βιασθεῖσα ὑπὸ τῆς τροφοῦ, τὰ δὲ εἰδῆσαι βουλομένη τὸ συμβεβηκὸς παραγίνεται πρὸς τὰς θύρας τοῦ ξενῶνος· διὰ ⟨δὲ⟩ τὸ γεγονέναι πλείονα χρόνον, ὡς ἂν δευτέρας ⟨ὥρας ἀπὸ τῆς⟩ ἀγγελίας συντε⟨τε⟩λεσμένης, ὀψέ ποτε ἦκεν ἡ Χαριτώ. διὸ συνέβαινεν ἐκείνους μὲν ἤδη ἀναπαύεσθαι. παρακύψασα δ' οὖν ἡ μήτηρ τὰ μὲν ἱμάτια καὶ τὸν τύπον τῆς ὄψεως ἐνόμιζεν ἐπιγινώσκειν, τὴν δὲ ἀλήθειαν ἐξετάσαι κατ' οὐδένα τρόπον δυναμένη τῇ ν⟨υκτὶ⟩ ἡσυχίαν ᾤετο δεῖν ἔχειν· πρωῒ γὰρ ἤλπιζεν ἀναστᾶσα καταλήψεσθαι τὴν ἄνθρωπον· ἐὰν δὲ ὑστερήσῃ, διερωτήσειν τὸν Μαχάτην περὶ πάντων· οὐ γὰρ ἄν ποτε ψεύσασθαι τηλικαύ-

15. *εἰ δὲ* cod. *ἢ δὲ* Meursius *ἡ δὲ* act. Monac. | 19. *δὲ* add. Leopardi. | 23. *ἀνακύψασα* cod. corr. H. | 26. *τὴν* cod. *τῇ νυκτὶ* Nauck.

την πρᾶξιν ἐρωτώμενον αὐτόν· διόπερ σιωπήσασα ἀπῆλθεν. ὄρθρου δὲ γενομένου τὴν μὲν εἴτε διὰ θείαν βούλησιν εἴτε κατ' αὐτοματισμὸν λαθοῦσαν ἀπελθεῖν συνέβη, τὴν δὲ παραγενομένην διὰ τὴν ἀπόλυσιν δυσφορεῖν τῷ νεανίσκῳ καὶ πάντα ἐξ ἀρχῆς ἐξηγησάμενον ἀξιοῦν [περὶ τὰ γόνατα περιπλεκομένην τοῦ Μαχάτου] τὴν ἀλήθειαν εἰπεῖν μηδὲν ἀποκρυψάμενον· ὁ δὲ νεανίσκος ἀγωνιάσας τὴν ἀρχὴν μὲν διεταράχθη, μόλις δέ ποτε τὸ ὄνομα διεσάφησεν, ὅτι Φιλίννιον εἴη· καὶ τὴν ἀρχὴν διηγήσατο τῆς εἰσόδου καὶ τὴν ἐπιθυμίαν αὐτῆς ἐδήλωσεν ὅση, καὶ ὅτι λάθρᾳ τῶν γεννησάντων ἔφη παραγίνεσθαι πρὸς αὐτόν, τά τε ὑπολελειμμένα ὑπὸ τῆς ἀνθρώπου βουλόμενος ποιῆσαι τὸ πρᾶγμα πιστόν, ἀνοίξας τὸν ῥίσκον, ἐξαιρεῖ τόν τε δακτύλιον τὸν χρυσοῦν. ὃν ἔλαβεν παρ' αὐτῆς, καὶ τὴν στηθοδεσμίδα, ἣν ἀπολελοίπει τῇ πρότερον νυκτί. ὡς δὲ εἶδεν ἡ Χαριτὼ τηλικαῦτα σημεῖα, ἀναβοᾷ, καὶ διαρρήξασα ἑαυτῆς τά τε ἐνδύματα καὶ τὸ ἱμάτιον, ἀπό τε τῆς κεφαλῆς ῥίψασα τὸν κεκρύφαλον, πεσοῦσά τε εἰς τὴν γῆν καὶ περιχυθεῖσα τοῖς γνωρίσμασιν, ἐξ ἀρχῆς ἐποίει τὸ πένθος. θεωρῶν δὲ ὁ ξένος τὸ γινόμενον καὶ πάντας ὄντας ὑπερπαθεῖς καὶ θρηνοῦντας, ὡσανεὶ νῦν μέλλοντας κατορύττειν τὴν ἄνθρωπον, συνεχεῖτο καὶ παρεκάλει δεόμενος παύσασθαι, ἐπαγγελλόμενος ἐὰν παραγένηται δείξειν αὐτήν. ἡ δὲ πεισθεῖσα καὶ ἐντειλαμένη αὐτῷ φροντίσαι μὴ

4—11. vide praefat. | 8. *ἀποκρυψαμένην* cod. *ἀποκρυψάμενον* W. Müll. | 12. *λάθρα* edit. | 14. *πιστὸν ἀνοίξας τὸν ῥίσκον ἐξαιρεῖ*, interpung. W. | 22. *ἐποιεῖτο* cod. *ἐποίει τὸ πένθος* Müll. | 24. *ὡσάνει* cod. | 25. *καὶ* supra vers. cod.

παρέργως τῶν ἐπηγγελμένων ἀπελύθη πρὸς αὐτήν. νυκτὸς δὲ ἐπιγενομένης καὶ τῆς ὥρας οὔσης καθ' ἣν ἡ Φιλίννιον εἰώθει παραγίνεσθαι πρὸς αὐτόν, οἱ μὲν προσετήρουν εἰδῆσαι θέλοντες τὴν ἄφιξιν, ἡ δὲ ἦκεν. εἰσελθούσης δὲ κατὰ τὸν εἰθισμένον καιρὸν καὶ καθεζομένης ἐπὶ τὴν κλίνην οὐδὲν προσποιηθεὶς ὁ Μαχάτης, ἐξετάσαι δὲ τὸ πρᾶγμα βουλόμενος, τὸ πλέον οὐ πιστεύων, εἰ νεκρᾷ πλησιάζοι οὕτως ἐπιμελῶς παραγιγνομένη κατὰ τὸν αὐτὸν καιρόν, ἔτι δὲ δειπνούσης μετ' αὐτοῦ καὶ συμπινούσης, ἀπίστως εἶχεν οἷς ἐκεῖνοι προήγγειλαν, ᾤετο δὲ νεκρορύκτας τινὰς δι⟨ορ⟩ωρυχέναι τὸν τάφον καὶ πεπρακέναι τὰ ἱμάτια καὶ τὰ χρυσία τῷ πατρὶ τῆς ἀνθρώπου. βουλόμενος οὖν τὴν ἀκρίβειαν εἰδῆσαι πέμπει τοὺς παῖδας λάθρᾳ καλοῦντας αὐτούς. ταχέως δὲ παραγενομένων τοῦ τε Δημοστράτου καὶ τῆς Χαριτοῦς, ἰδόντων τε αὐτὴν καὶ γενομένων τὸ μὲν πρῶτον ἀφώνων τε καὶ ἐκπλαγῶν διὰ τὸ παράδοξον τῆς ὄψεως, ὕστερον δὲ ἀναβοησάντων μέγα καὶ περιπεσόντων τῇ θυγατρί, τότε ἡ Φιλίννιον τοσαῦτ' εἶπεν αὐτοῖς· »ὦ μῆτερ καὶ πάτερ, ὡς ἀδίκως ἐφθονήσατέ μοι μετὰ τοῦ ξένου ἐπὶ τρεῖς ἡμέρας γενέσθαι ἐν τῇ πατρῴᾳ οἰκίᾳ λυποῦσαν οὐδέν⟨α⟩· τοιγαροῦν ὑμεῖς μὲν πενθήσετε ἐξ ἀρχῆς διὰ τὴν πολυπραγμοσύνην, ἐγὼ δὲ ἄπειμι πάλιν εἰς τὸν διατεταγμένον τόπον· οὐ γὰρ ἄνευ θείας βουλήσεως ἦλθον ἐνταῦθα.« τοσαῦτα εἰποῦσα παρὰ χρῆμα ἐγένετο νεκρά, ἐξε-

12. δὲ cod. δὴ editores. | 15. λάθραι cod. λάθρᾳ editores. | 24. οὐδὲν cod. οὐδένα Nauck. | 27. ἐνταῦθα Leopardi εἰς ταῦτα cod.

τὴν πρᾶξιν ἐρωτώμενον αὐτόν· διόπερ σιωπήσασα ἀπῆλθεν. ὄρθρου δὲ γενομένου τὴν μὲν εἴτε διὰ θείαν βούλησιν εἴτε κατ' αὐτοματισμὸν λαθοῦσαν ἀπελθεῖν συνέβη, τὴν δὲ παραγενομένην διὰ τὴν ἀπόλυσιν δυσφορεῖν τῷ νεανίσκῳ καὶ πάντα ἐξ ἀρχῆς ἐξηγησάμενον ἀξιοῦν [περὶ τὰ γόνατα περιπλεκομένην τοῦ Μαχάτου] τὴν ἀλήθειαν εἰπεῖν μηδὲν ἀποκρυψάμενον· ὁ δὲ νεανίσκος ἀγωνιάσας τὴν ἀρχὴν μὲν διεταράχθη, μύλις δέ ποτε τὸ ὄνομα διεσάφησεν, ὅτι Φιλίννιον εἴη· καὶ τὴν ἀρχὴν διηγήσατο τῆς εἰσόδου καὶ τὴν ἐπιθυμίαν αὐτῆς ἐδήλωσεν ὅση, καὶ ὅτι λάθρᾳ τῶν γεννησάντων ἔφη παραγίνεσθαι πρὸς αὐτόν, τά τε ὑπολελειμμένα ὑπὸ τῆς ἀνθρώπου βουλόμενος ποιῆσαι τὸ πρᾶγμα πιστόν, ἀνοίξας τὸν ῥίσκον, ἐξαιρεῖ τόν τε δακτύλιον τὸν χρυσοῦν, ὃν ἔλαβεν παρ' αὐτῆς, καὶ τὴν στηθοδεσμίδα, ἣν ἀπολελοίπει τῇ πρότερον νυκτί. ὡς δὲ εἶδεν ἡ Χαριτὼ τηλικαῦτα σημεῖα, ἀναβοᾷ, καὶ διαρρήξασα ἑαυτῆς τά τε ἐνδύματα καὶ τὸ ἱμάτιον, ἀπό τε τῆς κεφαλῆς ῥίψασα τὸν κεκρύφαλον, πεσοῦσά τε εἰς τὴν γῆν καὶ περιχυθεῖσα τοῖς γνωρίσμασιν, ἐξ ἀρχῆς ἐποίει τὸ πένθος. θεωρῶν δὲ ὁ ξένος τὸ γινόμενον καὶ πάντας ὄντας ὑπερπαθεῖς καὶ θρηνοῦντας, ὡσανεὶ νῦν μέλλοντας κατορύττειν τὴν ἄνθρωπον, συνεχεῖτο καὶ παρεκάλει δεόμενος παύσασθαι, ἐπαγγελλόμενος ἐὰν παραγένηται δείξειν αὐτήν. ἡ δὲ πεισθεῖσα καὶ ἐντειλαμένη αὐτῷ φροντίσαι μὴ

4—11. vide praefat. | 8. ἀποκρυψαμένην cod. ἀποκρυψάμενον W. Müll. | 12. λάθρα edit. | 14. πιστὸν ἀνοίξας τὸν ῥίσκον ἐξαιρεῖ, interpung. W. | 22. ἐποιεῖτο cod. ἐποίει τὸ πένθος Müll. | 24. ὡσανεὶ cod. | 25. καὶ supra vers. cod.

τες δὲ χαμαὶ κειμένην εἰς τὴν ἐκκλησίαν ἠθροιζόμεθα· τὰ γὰρ γεγονότα μεγάλα τε ἦν καὶ ἄπιστα. θορύβου δὲ ὄντος νεανικοῦ κατὰ τὴν ἐκκλησίαν καὶ σχεδὸν οὐδενὸς δυναμένου κρῖναι τὰ πράγματα, πρῶτος Ὕλλος, ὁ νομιζόμενος παρ' ἡμῖν οὐ μόνον μάντις ἄριστος, ἀλλὰ καὶ οἰωνοσκόπος κομψὸς εἶναι, τά τε ἄλλα συνεωρακὼς ἐν τῇ τέχνῃ περιττῶς, ἀναστὰς ἐκέλευεν τὴν μὲν ἄνθρωπον κατακαίειν ἐκτὸς ὁρίων· οὐ γὰρ συμφέρειν ἔτι ταύτην ἐντὸς ὁρίων τεθῆναι εἰς γῆν, ἀποτροπιάσασθαι δὲ Ἑρμῆν Χθόνιον καὶ Εὐμενίδας, εἶτα οὕτω περικαθαίρεσθαι πάντας, ἁγνίσαι δὲ καὶ τὰ ἱερὰ καὶ ὅσα θεοῖς χθονίοις νομίζεται ποιῆσαι συνέτασσεν. ἐμοί τε ἰδίᾳ εἶπεν περὶ τοῦ βασιλέως καὶ τῶν πραγμάτων, θύειν τε Ἑρμῇ, Διί τε Ξενίῳ καὶ Ἄρει, καὶ συντελεῖν ταῦτα μὴ παρέργως. ταῦτα δὲ ἀποφηναμένου αὐτοῦ τὸ μὲν συνταχθὲν ἡμεῖς ἐπράττομεν, ὁ δὲ ξένος ὁ Μαχάτης, πρὸς ὃν παρεγένετο τὸ φάσμα, ὑπ' ἀθυμίας ἑαυτὸν ἐξήγαγεν τοῦ ζῆν. ἐὰν οὖν σοι φαίνηται περὶ τούτων γράφειν τῷ βασιλεῖ, ἐπίστειλον κἀμοί, ἵνα καὶ τῶν σωμάτων τινὰ τῶν ἱστορούντων τὰ κατὰ μέρος ἐξαποστείλω σοι. ἔρρωσο.

II. Ἱστορεῖ δὲ καὶ Ἱέρων ὁ Ἀλεξανδρεὺς ἢ Ἐφέσιος καὶ ἐν Αἰτωλίᾳ φάσμα γενέσθαι. Πολύκριτος γάρ τις τῶν πολιτῶν ἐχειροτονήθη ὑπὸ τοῦ δήμου Αἰτωλάρχης, ἐπὶ τρία ἔτη τῶν πολιτῶν αὐτὸν ἀξιωσάντων διὰ τὴν ὑπάρχουσαν ἐκ προγόνων καλοκαγαθίαν. ὢν δὲ ἐν τῇ ἀρχῇ ταύτῃ ἄγεται

5. ὁ *νομιζόμενος* Bast ὀνομαζόμενος cod. | 8. *κατακαίειν* Hemsterhuys *κατακλείειν* cod. | 17. *τούτου* cod. corr. H. | 23. *Ἱέρων*] Ἥρων Meursius. | 26. *αὐτῶν* cod.

γυναῖκα Λοκρίδα, καὶ συγκοιμηθεὶς τρισὶν νυξὶ τῇ τετάρτῃ τὸν βίον ἐξέλιπεν. ἡ δὲ ἄνθρωπος ἔμενεν ἐν τῇ οἰκίᾳ χηρεύουσα, ἠνίκα δὲ ὁ τοκετὸς ἤπειγεν, τίκτει παιδίον αἰδοῖα ἔχον δύο, ἀνδρεῖόν τε καὶ γυναικεῖον, καὶ τὴν φύσιν θαυμαστῶς διηλλαγμένον· τὰ μὲν ἄνω τοῦ αἰδοίου σκληρά τε καὶ ἀνδρώδη ἦν, τὰ δὲ περὶ τοὺς μηροὺς γυναικεῖα καὶ ἁπαλώτερα. ἐφ' ᾧ καταπλαγέντες οἱ συγγενεῖς ἀπήνεγκαν εἰς τὴν ἀγορὰν τὸ παιδίον καὶ συναγαγόντες ἐκκλησίαν ἐβουλεύοντο περὶ αὐτοῦ, θύτας τε καὶ τερατοσκόπους συγκαλέσαντες. τῶν δὲ οἱ μὲν ἀπεφήναντο διάστασίν τινα τῶν Αἰτωλῶν καὶ Λοκρῶν ἔσεσθαι· κεχωρίσθαι γὰρ ἀπὸ μητρὸς οὔσης Λοκρίδος καὶ πατρὸς Αἰτωλοῦ· οἱ δὲ δεῖν ᾤοντο τὸ παιδίον καὶ τὴν μητέρα ἀπενεγκόντας εἰς τὴν ὑπερορίαν κατακαῦσαι. ταῦτα δὲ αὐτῶν βουλ⟨ευ⟩ομένων ἐξαίφνης φαίνεται ὁ Πολύκριτος ὁ προτεθνηκὼς ἐν τῇ ἐκκλησίᾳ πλησίον τοῦ τέκνου ἔχων ἐσθῆτα μέλαιναν. τῶν δὲ πολιτῶν καταπλαγέντων ἐπὶ τῇ φαντασίᾳ καὶ πολλῶν εἰς φυγὴν τραπομένων παρεκάλεσε τοὺς πολίτας θαρρεῖν καὶ μὴ ταράττεσθαι ἐπὶ· τῷ γεγονότι φάσματι. ἐπεὶ δὲ ἔληξε τὸ πλέον τοῦ θορύβου καὶ τῆς ταραχῆς, ἐφθέγξατο λεπτῇ τῇ φωνῇ τάδε· »ἐγώ, ἄνδρες πολῖται, τῷ μὲν σώματι τέθνηκα, τῇ δὲ εὐνοίᾳ καὶ τῇ χάριτι ⟨τῇ⟩ πρὸς ὑμᾶς ζῶ. καὶ νῦν πάρειμι πρὸς ὑμᾶς ⟨πείσας⟩ τοὺς κυριεύοντας τῶν κατὰ γῆν ἐπὶ τῷ συμφέροντι τῷ ὑμετέρῳ. παρακαλῶ τοίνυν ὑμᾶς, πολίτας ὄντας ἐμοῦ, τοῦ μὴ ταράττεσθαι μηδὲ δυσ-

6. ὁλόκληρά cod. σκληρά N. et H. | 26. ὑμᾶς πείσας Leopardi ὑμᾶς παραιτησάμενος coni. W.

χεραίνειν ἐπὶ τῷ παραδόξῳ γεγονότι φάσματι. δέομαι δὲ ὑμῶν ἁπάντων, κατευχόμενος πρὸς τῆς ἑκάστου σωτηρίας, ἀποδοῦναί μοι τὸ παιδίον τὸ ἐξ ἐμοῦ γεγεννημένον, ὅπως μηδὲν βίαιον γένηται ἄλλο τι βουλευσαμένων ὑμῶν μηδ' ἀρχὴ πραγμάτων δυσχερῶν καὶ χαλεπῶν διὰ τὴν πρὸς ἐμὲ φιλονεικίαν ὑμῖν γένηται. οὐ γὰρ ἐνδέχεταί μοι περιιδεῖν κατακαυθὲν τὸ παιδίον ὑφ' ὑμῶν διὰ τὴν τῶν ἐξαγγελλόντων ὑμῖν μάντεων ἀποπληξίαν. συγγνώμην μὲν οὖν ὑμῖν ἔχω, ὅτι τοιαύτην ὄψιν ἀπροσδόκητον ἑωρακότες ἀπορεῖτε πῶς ποτε τοῖς παροῦσι πράγμασιν ὀρθῶς χρήσεσθε. εἰ μὲν οὖν ἐμοὶ πεισθήσεσθε ἀδεῶς, τῶν παρόντων φόβων καὶ τῶν ἐπερχομένων κακῶν ἔσεσθε ἀπηλλαγμένοι. εἰ δὲ ἄλλως πως τῇ γνώμῃ προπεσεῖσθε, φοβοῦμαι περὶ ὑμῶν μήποτε εἰς ἀνηκέστους συμφορὰς ἀπειθοῦντες ἡμῖν ἐμπέσητε. ἐγὼ μὲν οὖν διὰ τὴν ὑπάρχουσαν εὔνοιαν ὅτ' ἔξων καὶ νῦν ἀπροσδοκήτως παρὼν προείρηκα τὸ συμφέρον ὑμῖν. ταῦτ' οὖν ὑμᾶς ἀξιῶ, μὴ πλείω με χρόνον παρέλκειν, ἀλλὰ βουλευσαμένους ὀρθῶς καὶ πεισθέντας τοῖς εἰρημένοις ὑπ' ἐμοῦ δοῦναί μοι μετ' εὐφημίας τὸ παιδίον. οὐ γὰρ ἐνδέχεταί μοι πλείονα μηκύνειν χρόνον διὰ τοὺς κατὰ γῆν ὑπάρχοντας δεσπότας.« ταῦτα δὲ εἰπὼν ἡσυχίαν ἔσχεν ἐπ' ὀλίγον, καραδοκῶν ποίαν ποτὲ ἐξοίσουσιν αὐτῷ γνώμην περὶ τῶν ἀξιουμένων. τινὲς μὲν οὖν ᾤοντο δεῖν ἀποδοῦναι τὸ παιδίον καὶ ἀφοσιώσασθαι τό τε φάσμα καὶ τὸν ἐπιστάντα δαίμονα, οἱ δὲ πλεῖστοι ἀντέλεγον, ἐπὶ σχολῆς δεῖν βουλεύσασθαι

15. προσπεσεῖσθε cod. corr. H. | 29. ἐπὶ σχολῆς cod. et in mg. μετὰ ἀνέσεως.

φάσκοντες, ὡς ὄντος μεγάλου τοῦ πράγματος καὶ οὐ τῆς τυχούσης· αὐτοῖς ἀπορίας. συνιδὼν δὲ αὐτοὺς οὐ προσέχοντας, ἀλλ' ἐμποδίζοντας αὐτοῦ τὴν βούλησιν, ἐφθέγξατο αὖθις τάδε· »ἀλλ' οὖν γε, ὦ ἄνδρες πολῖται, ἐὰν ὑμῖν συμβαίνῃ τι τῶν δυσχερεστέρων διὰ τὴν ἀβουλίαν, μὴ ἐμὲ αἰτιᾶσθε, ἀλλὰ τὴν τύχην τὴν οὕτως ἐπὶ τὸ χεῖρον ὑμᾶς ποδηγοῦσαν, ἥτις ἐναντιουμένη κἀμοὶ παρανομεῖν ἀναγκάζει με εἰς τὸ ἴδιον τέκνον.« τοῦ δὲ ὄχλου συνδραμόντος καὶ περὶ τὴν ⟨κάθ⟩αρσιν τοῦ τέρατος ἔχοντος, ἐπιλαβόμενος τοῦ παιδίου καὶ τοὺς πλείστους αὐτῶν ἀνείρξας ἰταμώτερον διέσπασέ τε αὐτὸ καὶ ἤσθιε. κραυγῆς δὲ γενομένης καὶ λίθων ἐπ' αὐτὸν ἐκριπτομένων ὑπελάμβανον τροπὴν αὐτοῦ ποιήσασθαι. ὁ δὲ ἄπληκτος ὢν ὑπὸ τῶν λίθων τὸ σῶμα πᾶν τοῦ παιδίου κατανάλωσε πλὴν τῆς κεφαλῆς καὶ αὐτίκα ἀφανὴς ἐγένετο. δυσφορούντων δ' αὐτῶν ἐπὶ τοῖς γενομένοις καὶ ἐν ἀπορίᾳ καθεστηκότων οὐ τῇ τυχούσῃ, βουλομένων τε ἀποστεῖλαι εἰς Δελφούς, φθέγγεται ἡ κεφαλὴ τοῦ παιδίου ἐπὶ τοῦ ἐδάφους κειμένη καὶ λέγει χρησμῷ τὰ ἀποβησόμενα·

ὦ πολυύμνητον ναίων χθόνα λαὸς ἀπείρων,
μὴ στεῖχ' ἐς Φοίβου τέμενος ναόν τε θυώδη·
οὐ γάρ σοι καθαραὶ χέρες αἵματος αἰθέρ' ἔχουσιν,
ἀλλὰ μύσος προπάροιθε ποδῶν ἔντοσθε κελεύθου.
φράζεο δ' ἐξ ἐμέθεν, τρίποδος δ' ἀπόειπε κέλευθον·

10. ἄρσιν cod. et in mg. ἔρίν, λύσιν coni. W., κάθαρσιν Emperius. | 12. ἰταμώτερον cod. | 16. κατανάλωσεν cod. ante rasuram.

μαντοσύνης πᾶσαν γὰρ ἐφετμήν σοι καταλέξω.
ἤματι γὰρ τούτῳ περιτελλομένοὺ ἐνιαυτοῦ
ὥρισται πᾶσιν θάνατος, ψυχαὶ δὲ βέονται
Λοκρῶν Αἰτωλῶν τ' ἀναμὶξ βουλῇσιν Ἀθήνης.
οὐδ' ἀναπαύλησις κακοῦ ἔσσεται, οὐδ' ἠβαιόν.
ἤδη γὰρ ψακάδες φόνιαι κατὰ κρᾶτα κέχυνται,
νὺξ δ' ἐπὶ πάντα κέκευθε, μέλας δ' ἐπιδέδρομεν ἀχλύς·
αὐτίκα νὺξ δ' ἔρεβος πᾶσαν κατὰ γαῖαν ὄρωρεν,
χῆροι δ' οἶκοι πάντες ἐπ' οὔδεϊ γυῖα κλινοῦσιν,
οὐδὲ γυνὴ πένθος ποτὲ λείψεται, οὐδέ νυ παῖδες
ἐν μεγάροις γοόωσι φίλους πατέρας περιφύντες·
τοῖον γὰρ τόδε κῦμα κατέδραμε πᾶσι κατ' ἄκρης.
αἳ αἳ πατρίδ' ἐμὴν αἰεὶ στένω αἰνὰ παθοῦσαν,
μητέρα τ' αἰνοτάτην, ἣν ὕστερον ἔκλυσεν αἰών.
νώνυμνόν τε θεοὶ γένεσιν θήσουσιν ἅπαντες
Λοκρῶν τ' Αἰτωλῶν θ' ὅ τι που καὶ σπέρμα λίποιτο,
οὕνεκ ἐμὴν κεφαλὴν λίποι αἰών, οὐδέ νυ πάντα
σώματος ἠφάνικεν μέλε' ἄκριτα, λεῖπε δὲ γαῖαν.
ἀλλ' ἄγ' ἐμὴν κεφαλὴν θέμεν ἠοῖ φαινομένηφι,
μηδέ θ' ὑπὸ ζοφερὴν γαῖαν κατακρυπτέμεν ἔνδον·
αὐτοὺς δὲ προλιπόντας ἐὸν χῶρον μετόπισθεν
στείχειν εἰς ἄλλον χῶρον καὶ λαὸν Ἀθήνης,
εἴ τινά που θανάτοιο λύσιν κατὰ μοῖραν ἕλησθε.

1. γὰρ] καὶ Meursius. | 3. βίονται cod., corr. E. | 5. οὐδ' ἄρ' ἀνάβλησις Schaefer. | 6. ψακάδες cod. ψεκάδες edit. | 7. αἴθρη cod. αἰθήρ ed. ἀχλύς N. | 10. χῆροι cod. | 11. οὐδέ νυ] οἰδέν cod. | 12. περιφῦντες cod. | 14. αἰνὰ] αἱ in rasura. | 16. νώνυμνόν, μν in rasura, cod. | 17. θ'] δ' cod. | 21. ἀλλά γ' cod., corr. N. — θέμεν Müll. θέμεν' cod. — φαινομένηφι cod., corr. N.

ἀκούσαντες δὲ οἱ Αἰτωλοὶ τοῦ χρησμοῦ γυναῖκας μὲν καὶ τὰ νήπια τέκνα τούς τε ὑπέργηρως ὑπεξέθεντο οὗ ἕκαστος ἐδύνατο, αὐτοὶ δὲ ἔμενον καραδοκοῦντες τὸ ἀποβησόμενον. καὶ συνέβη τῷ ἑξῆς ἔτει Αἰτωλοῖς καὶ Ἀκαρνᾶσι συστῆναι πόλεμον καὶ φθορὰν πολλὴν ἑκατέρων γενέσθαι.

III. Ἱστορεῖ δὲ καὶ Ἀντισθένης ὁ περιπατητικὸς φιλόσοφος Ἀκείλιον Γλαβρίωνα τὸν ὕπατον μετὰ πρεσβευτῶν Πορκίου Κάτωνος καὶ Λουκίου Οὐαλερίου Φλάκκου παραταξάμενον Ἀντιόχῳ ἐν Θερμοπύλαις γενιαίως τε ἀγωνισάμενον βιάσασθαι ῥῖψαι μὲν τὰ ὅπλα τοὺς μετ' Ἀντιόχου, αὐτὸν δὲ τὰ μὲν πρῶτα εἰς Ἐλάτειαν μετὰ πεντακοσίων ὑπασπιστῶν φυγεῖν, ἐκεῖθεν δὲ πάλιν εἰς Ἔφεσον ἀναγκάσαι ὑπεξελθεῖν. ὁ δὲ Ἀκείλιος Κάτωνα μὲν εἰς Ῥώμην ἀπέστειλεν ἀπαγγελοῦντα τὴν νίκην, αὐτὸς δὲ ἐπ' Αἰτωλοὺς καθ' Ἡράκλειαν ἐστράτευσεν, ἣν ἐξ εὐμαροῦς ἔλαβεν. ἐν δὲ τῇ παρατάξει τῇ γενομένῃ πρὸς Ἀντίοχον ἐν Θερμοπύλαις ἐπιφανέστατα σημεῖα ἐγένετο Ῥωμαίοις. ἐπιφανέντος γὰρ Ἀντιόχου καὶ φυγόντος τῇ ἐπιούσῃ ἡμέρᾳ ἐγίνοντο οἱ Ῥωμαῖοι περὶ ἀναίρεσιν τῶν ἐκ τῆς σφετέρας δυνάμεως πεπτωκότων καὶ περὶ συλλογὴν λαφύρων τε καὶ σκύλων καὶ αἰχμαλώτων. Βούπλαγος δέ τις, τῶν ἀπὸ Συρίας ἱππάρχης, τιμώμενος παρὰ τῷ βασιλεῖ Ἀντιόχῳ, ἔπεσε καὶ αὐτὸς γενναίως ἀγωνισάμενος. ἀναιρουμένων δὲ τῶν Ῥωμαίων πάντα τὰ σκῦλα καὶ μεσούσης τῆς ἡμέρας ἀνέστη ὁ Βούπλαγος ἐκ τῶν νεκρῶν, ἔχων

2. ὑπεργήρως edit. | 12. ῥίψαι cod. | 13. Ἐλάτειαν Meursius Ἰταλίαν cod.

μαντοσύνης πᾶσαν γὰρ ἐφετμήν σοι καταλέξω.
ἤματι γὰρ τούτῳ περιτελλομένοὺ ἐνιαυτοῦ
ὥρισται πᾶσιν θάνατος, ψυχαὶ δὲ βέονται
Λοκρῶν Αἰτωλῶν τ' ἀναμὶξ βουλῇσιν Ἀθήνης.
οὐδ' ἀναπαύλησις κακοῦ ἔσσεται, οὐδ' ἠβαιόν.
ἤδη γὰρ ψακάδες φόνιαι κατὰ κρᾶτα κέχυνται,
νὺξ δ' ἐπὶ πάντα κέκευθε, μέλας δ' ἐπιδέδρομεν ἀχλύς·
αὐτίκα νὺξ δ' ἔρεβος πᾶσαν κατὰ γαῖαν ὄρωρεν,
χῆροι δ' οἶκοι πάντες ἐπ' οὔδεϊ γυῖα κλινοῦσιν,
οὐδὲ γυνὴ πένθος ποτὲ λείψεται, οὐδέ νυ παῖδες
ἐν μεγάροις γοόωσι φίλους πατέρας περιφύντες·
τοῖον γὰρ τόδε κῦμα κατέδραμε πᾶσι κατ' ἄκρης.
αἳ αἳ πατρίδ' ἐμὴν αἰεὶ στένω αἰνὰ παθοῦσαν,
μητέρα τ' αἰνοτάτην, ἣν ὕστερον ἔκλυσεν αἰών.
νώνυμνόν τε θεοὶ γένεσιν θήσουσιν ἅπαντες
Λοκρῶν τ' Αἰτωλῶν θ' ὅ τι που καὶ σπέρμα λίποιτο,
οὕνεκ ἐμὴν κεφαλὴν λίποι αἰών, οὐδέ νυ πάντα
σώματος ἠφάνικεν μέλε' ἄκριτα, λεῖπε δὲ γαῖαν.
ἀλλ' ἄγ' ἐμὴν κεφαλὴν θέμεν ἠοῖ φαινομένηφι,
μηδέ θ' ὑπὸ ξοφερὴν γαῖαν κατακρυπτέμεν ἔνδον·
αὐτοὺς δὲ προλιπόντας ἐὸν χῶρον μετόπισθεν
στείχειν εἰς ἄλλον χῶρον καὶ λαὸν Ἀθήνης,
εἴ τινά που θανάτοιο λύσιν κατὰ μοῖραν ἕλησθε.

1. γὰρ] καὶ Meursius. | 3. βίονται cod., corr. E. | 5. οὐδ' ἄρ' ἀνάβλησις Schaefer. | 6. ψακάδες cod. ψεκάδες edit. | 7. αἴθρη cod. αἰθὴρ ed. ἀχλύς N. | 10. χῆροι cod. | 11. οὐδέ νυ] οἰδέην cod. | 12. περιφῦντες cod. | 14. αἰνὰ] αι in rasura. | 16. νώνυμνόν, μν in rasura, cod. | 17. θ'] θ̄ cod. | 21. ἀλλά γ' cod., corr. N. — θέμεν Müll. θέμεν' cod. — φαινομένηφι cod., corr. N.

ἀκούσαντες δὲ οἱ Αἰτωλοὶ τοῦ χρησμοῦ γυναῖκας μὲν καὶ τὰ νήπια τέκνα τούς τε ὑπέργηρως ὑπεξέθεντο οὗ ἕκαστος ἐδύνατο, αὐτοὶ δὲ ἔμενον καραδοκοῦντες τὸ ἀποβησόμενον. καὶ συνέβη τῷ ἑξῆς ἔτει Αἰτωλοῖς καὶ Ἀκαρνᾶσι συστῆναι πόλεμον καὶ φθορὰν πολλὴν ἑκατέρων γενέσθαι.

III. Ἱστορεῖ δὲ καὶ Ἀντισθένης ὁ περιπατητικὸς φιλόσοφος Ἀκείλιον Γλαβρίωνα τὸν ὕπατον μετὰ πρεσβευτῶν Πορκίου Κάτωνος καὶ Λουκίου Οὐαλερίου Φλάκκου παραταξάμενον Ἀντιόχῳ ἐν Θερμοπύλαις γενιαίως τε ἀγωνισάμενον βιάσασθαι ῥῖψαι μὲν τὰ ὅπλα τοὺς μετ' Ἀντιόχου, αὐτὸν δὲ τὰ μὲν πρῶτα εἰς Ἐλάτειαν μετὰ πεντακοσίων ὑπασπιστῶν φυγεῖν, ἐκεῖθεν δὲ πάλιν εἰς Ἔφεσον ἀναγκάσαι ὑπεξελθεῖν. ὁ δὲ Ἀκείλιος Κάτωνα μὲν εἰς Ῥώμην ἀπέστειλεν ἀπαγγελοῦντα τὴν νίκην, αὐτὸς δὲ ἐπ' Αἰτωλοὺς καθ' Ἡράκλειαν ἐστράτευσεν, ἣν ἐξ εὐμαροῦς ἔλαβεν. ἐν δὲ τῇ παρατάξει τῇ γενομένῃ πρὸς Ἀντίοχον ἐν Θερμοπύλαις ἐπιφανέστατα σημεῖα ἐγένετο Ῥωμαίοις. ἐπιφανέντος γὰρ Ἀντιόχου καὶ φυγόντος τῇ ἐπιούσῃ ἡμέρᾳ ἐγίνοντο οἱ Ῥωμαῖοι περὶ ἀναίρεσιν τῶν ἐκ τῆς σφετέρας δυνάμεως πεπτωκότων καὶ περὶ συλλογὴν λαφύρων τε καὶ σκύλων καὶ αἰχμαλώτων. Βούπλαγος δέ τις, τῶν ἀπὸ Συρίας ἱππάρχης, τιμώμενος παρὰ τῷ βασιλεῖ Ἀντιόχῳ, ἔπεσε καὶ αὐτὸς γενναίως ἀγωνισάμενος. ἀναιρουμένων δὲ τῶν Ῥωμαίων πάντα τὰ σκῦλα καὶ μεσούσης τῆς ἡμέρας ἀνέστη ὁ Βούπλαγος ἐκ τῶν νεκρῶν, ἔχων

2. ὑπερηρως edit. | 12. ῥίψαι cod. | 13. Ἐλάτειαν Meursius Ἰταλίαν cod.

τραύματα δέκα δύο, καὶ παραγενόμενος εἰς τὸ στρατόπεδον αὐτῶν ἀνεῖπε λεπτῇ τῇ φωνῇ τούσδε τοὺς στίχους·

παῦσαι σκυλεύων στρατὸν Ἄϊδος εἰς χθόνα βάντα·
ἤδη γὰρ Κρονίδης νεμεσᾷ Ζεὺς μέρμερα λεύσ-
⟨σ⟩ων,
μηνίει δὲ φόνῳ στρατιᾶς καὶ σοῖσιν ἐπ' ἔργοις,
καὶ πέμψει φῦλον θρασυκάρδιον εἰς χθόνα τὴν
σήν,
οἳ σ' ἀρχῆς παύσουσιν, ἀμείψῃ δ' οἷά γ' ἔρεξας.

ταραχθέντες δὲ οἱ στρατηγοὶ ἐπὶ τοῖς ῥηθεῖσιν διὰ ταχέων συνήγαγον τὸ πλῆθος εἰς ἐκκλησίαν καὶ ἐβουλεύοντο περὶ τοῦ γεγονότος φάσματος. ἔδοξεν οὖν τὸν μὲν Βούπλαγον παρὰ χρῆμα μετὰ τὰ λεχθέντα ἔπη ἀποπνεύσαντα κατακαύσαντας θάψαι, καθαρμὸν δὲ ποιήσαντας τοῦ στρατοπέδου θῦσαι Διὶ Ἀποτροπαίῳ, καὶ πέμψαι εἰς Δελφοὺς ἐρωτήσοντας τὸν θεὸν τί χρὴ ποιεῖν. παραγενομένων δὲ Πυθῶδε τῶν θεωρῶν καὶ πυνθανομένων, τί ποιητέον, ἀνεῖπεν ἡ Πυθία τόνδε τὸν χρησμόν·

ἴσχεο νῦν, Ῥωμαῖε, δίκη δέ τοι ἔμμονος ἔστω,
μή σοι ἐφορμήσῃ Παλλὰς πολὺ φέρτερον Ἄρη,
χηρώσῃ δ' ἀγοράς· σὺ δέ, νήπιε, πολλὰ μογήσας
ἵξεαι ἐς χώρην τὴν σὴν πολὺν ὄλβον ὀλέσ⟨σ⟩ας.

ἀκούσαντες οὖν τοῦ λόγου τούτου τὸ μὲν ἐπιστρατεῦσαι ἐπί τινα τῶν ἐν τῇ Εὐρώπῃ κατοικούντων ἀπέγνωσαν τὸ παράπαν, ἀναζεύξαντες δὲ ἀπὸ τοῦ προειρημένου τόπου παρεγένοντο ἐπὶ Ναύπακτον τῆς Αἰτωλίας, ο⟨ὗ⟩ ἐστιν ἱερὸν κοινὸν τῶν Ἑλλήνων,

7. μηνειει cod. | 29. ὃ cod. οὗ W.

τε πύργων καὶ τειχῶν κατασκαφὰς ἐρημίαν τε χθονὸς ἀμύθητον.« ταῦτα δὲ εἰπὼν ἔλεξεν αὖθις ἐν ἔπεσι τάδε·

ἡνίκα Νισαῖοι χρυσάμπυκες ἀργέται ἵπποι
βῶσιν ἐπὶ χθόνα δῖαν, ἑὴν προλιπόντες ἐφέδρην,
οὔς ποτ' ἐν ἄστει τεῦξε Συρηκοσίων πολυόλβων
Δαίδαλος Ἠετίων, φιλίην πολυήρατον αὔξων,
δαῖτ' ἐπὶ χαλκείῃ, δεσμοῖς δ' ἐπὶ δεσμὸν ἔλλεν
χρύσεον· ἐν δ' αὐτὸν πᾶσιν Ὑπερίονος υἱὸν
ἤρμοσεν ἀκτίνεσσι καὶ ὄμμασι μαρμαίροντα·
καὶ τότε σοί, Ῥώμη, χαλέπ' ἄλγεα πάντα τελεῖται.
ἥξει γὰρ στρατὸς εὐρύς, ὅ σου χθόνα πᾶσαν ὀλέσσει,
χηρώσει δ' ἀγοράς, ἄστη δέ τε πυρπόλα θήσει,
αἵματι δὲ πλήσει ποταμούς, πλήσει δὲ καὶ Ἅιδην,
δουλοσύνην τ' οἰκτρήν, στυγερήν, ἀτέκμαρτον ἐφήσει.
οὐδὲ γυνὴ πόσιν ὃν γ' ὑποδέξεται ἐκ πολέμοιο
νοστήσαντ', Ἀΐδης δὲ καταχθόνιος, μελανείμων,
ἕξει ἐνὶ φθιμένοισιν ὁμοῦ τέκνα μητρὸς ἀπούρας,
Ἄρης δ' ἀλλοδαποῖς περιθήσει δούλιον ἦμαρ.

ἀποφθεγξάμενος δὲ ταῦτα ἐσιώπησεν, καὶ πορευθεὶς ἔξω τοῦ στρατοπέδου ἀνέβη ἐπί τινα δρῦν. ἑπακολουθήσαντος δὲ τοῦ ὄχλου προσεκαλέσατο αὐτοὺς καὶ εἶπεν τάδε· »ἐμοὶ μέν, ὦ ἄνδρες Ῥωμαῖοι καὶ

2. ἀμύθήτου cod. ἀμύθητον Meineke. | 3. τάδε] in mg. haec leguntur: μεταξὺ Σουσιανῆς καὶ Βακ⟨τ⟩ριανῆς τόπος ἐστὶν κατὰ Στίγανα, ὅπερ Ἑλληνιστὶ νῆσον δηλοῖ. ἐνταῦθα ἵπποι διάφοροι γίγνονται. εἰσὶν δὲ πᾶσαι ξανθαί. ὁ δὲ Εὐριπίδης πρὸς τῇ ἐρυθρᾷ θαλάσσῃ τὴν Νησαίαν φησὶν εἶναι. | 4. νησαῖαι cod. | 7. φιλίαν cod. | 8. ἔλλεν χρύσεον· cod. ἔλλεν, χρύσεον edit. | 12. ὃς οὐ cod. corr. Müll. | 13. πυρπολα cod. | 16. ἐφέσει cod. ἐφέσσει edit., corr. Nauck.

ἀνειπὼν δὲ τοὺς στίχους τούτους ὥρμησεν ἐκ τῆς σκηνῆς ἐν χιτῶνι καὶ ἀπεφθέγγετο καταλογάδην τάδε· »μηνύομεν, ὦ ἄνδρες στρατιῶται καὶ πολῖται, διαβάντας ἀπὸ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν νικῆσαι ὑμᾶς τὸν βασιλέα Ἀντίοχον ναυμαχήσαντάς τε καὶ πεζῇ παραταξαμένους, κυριεῦσαι δὲ τῆς ἐπίταδε τοῦ Ταύρου χώρας πάσης καὶ τῶν πόλεων τῶν ἐκτισμένων ἐν αὐτῇ, ἐκβαλόντας τὸν Ἀντίοχον εἰς Συρίαν, ταύτην δὲ παραδοθῆναι καὶ τὰς πόλεις τοῖς Ἀττάλου υἱοῖς, Γαλάτας τε τοὺς κατοικοῦντας ἐν τῇ Ἀσίᾳ παραταξαμένους πρὸς ὑμᾶς ἡσσηθῆναι, τῶν τε γυναικῶν καὶ τέκνων καὶ τῆς ἀποσκευῆς πάσης κυριεῦσαι ὑμᾶς καὶ ἀγαγεῖν εἰς τὴν Εὐρώπην, τοὺς δὲ κατοικοῦντας ἐν τῇ Εὐρώπῃ τὴν παραλίαν Θρᾷκας τῆς τε Προποντίδος καὶ Ἑλλησπόντου ἀναλύουσιν ὑμῖν ἀπὸ τῆς στρατείας ἐπίθεσιν ποιήσασθαι περὶ τὴν τῶν Αἰνιάνων χώραν καί τινας διαφθείραντας ἀφελέσθαι μέρος τι τῆς προνομῆς, διασωθέντων δὲ τῶν ἄλλων καὶ κομισθέντων εἰς Ῥώμην ἔσεσθαι συνθήκας πρὸς βασιλέα Ἀντίοχον, ἐφ' ᾧ χρήματα μὲν εἰσοίσει καὶ χώρας τινὸς ἀποστήσεται.« ἀναγορεύσας δὲ ταῦτα ἀνακεκράγει μεγάλῃ τῇ φωνῇ λέγων τάδε· »ἐκ τῆς Ἀσίας ὁρῶ διαβαινούσας δυνάμεις χαλκοστέρνους καὶ βασιλέας ἐπὶ τὸ αὐτὸ συναγομένους καὶ ἔθνη παντοδαπὰ ἐπὶ τὴν Εὐρώπην, ἵππων τε κτύπον δοράτων τε ψόφον καὶ φόνον αἱματόφυρτον λεηλασίαν τε δεινὴν πτώσεις

3. μηνύωμεν cod. | 4. ἐπὶ cod. ἀπὸ Leopardi. | 10. τὲ cod. δὲ edit. | 12. τε cod. δὲ edit. | 17. ποιήσεσθαι cod. | 19. δηλαθέντων an δηλωθέντων? cod. corr. X. | 22. ἀνεκεκράγει edit.

ταῦτά σοι εἴρηκεν νημερτέα Φοῖβος Ἀπόλλων
Πύθιος, ὅς μοι ἐὸν κρατερὸν θεράποντ' ἐπιπέμψας
ἦγαγεν εἰς μακάρων τε δόμους καὶ Περσεφονείης.
ἀκούσαντες δὲ τῶν ἐπῶν τούτων οὐ μετρίως ἐταράχθησαν, ἱδρυσάμενοί τε ναὸν Ἀπόλλωνος Λυκ⟨ε⟩ίου καὶ βωμόν, οὗπερ ἔκειτο ἡ κεφαλή, ἐνέβησαν εἰς τὰς ναῦς καὶ ἀπέπλεον ἕκαστοι ἐπὶ τὰς ἑαυτῶν πατρίδας. καὶ συνέβη ἅπαντα τὰ ὑπὸ τοῦ Ποπλίου ῥηθέντα γενέσθαι.

IV. Ἱστορεῖ δὲ καὶ Ἡσίοδος καὶ Δικαίαρχος καὶ Κλέαρχος καὶ Καλλίμαχος καὶ ἄλλοι τινὲς περὶ Τειρεσίου τάδε. Τειρεσίαν τὸν Εὐήρους ἐν Ἀρκαδίᾳ [ἄνδρα] ὄντα ἐν τῷ ὄρει τῷ ἐν Κυλλήνῃ ὄφεις ἰδόντα ὀχεύοντας τρῶσαι τὸν ἕτερον καὶ παρὰ χρῆμα μεταβαλεῖν τὴν ἰδέαν· γενέσθαι γὰρ ἐξ ἀνδρὸς γυναῖκα καὶ μιχθῆναι ἀνδρί. τοῦ δὲ Ἀπόλλωνος αὐτῷ χρήσαντος, ὡς ἐὰν τηρήσας ὀχεύοντας ὁμοίως τρώσῃ τὸν ἕνα ἔσται οἷος ἦν, παραφυλάξαντα τὸν Τειρεσίαν ποιῆσαι τὰ ὑπὸ τοῦ θεοῦ ῥηθέντα καὶ οὕτως ⟨ἀνα⟩κομίσασθαι τὴν ἀρχαίαν φύσιν. Διὸς δὲ ἐρίσαντος Ἥρᾳ καὶ φαμένου ἐν ταῖς συνουσίαις πλεονεκτεῖν τὴν γυναῖκα τοῦ ἀνδρὸς τῇ τῶν ἀφροδισίων ἡδονῇ καὶ τῆς Ἥρας φασκούσης τὰ ἐναντία, δόξαι αὐτοῖς μεταπεμψαμένοις ἐρέσθαι τὸν Τειρεσίαν διὰ τὸ τῶν τρόπων ἀμφοτέρων πεπειρᾶσθαι. τὸν δὲ ἐρωτώμενον ἀποφήνασθαι, διότι μοιρῶν οὐσῶν δέκα τὸν ἄνδρα τέρπεσθαι τὴν μίαν, τὴν δὲ

3. μακάρων] ἐνέρων Nauck. | 7. ἕκαστος cod., corr. Meineke. | 11. κλείταρχος cod., corr. Müll. | 12. εὐμάρους cod., corr. Meursius | 20. κομίσασθαι cod., corr. Nauck. | 22. τῆς ... ἡδονῆς cod. corr. H. | 24. ἔρεσθαι cod.

οἱ λοιποὶ στρατιῶται, καθήκει τελευτήσαντι ὑπὸ λύκου πυρροῦ εὐμεγέθους καταβρωθῆναι ἐν τῇ σήμερον ἡμέρᾳ, ὑμεῖς δὲ τὰ ῥηθέντα ὑπ' ἐμοῦ γινώσκετε συμβησόμενα ὑμῖν πάντα, τεκμηρίοις χρώμενοι τῇ νῦν ἐσομένῃ ἐπιφανείᾳ τοῦ θηρίου τε καὶ τῇ ἐμῇ ἀναιρέσει, ὅτι ἀληθῆ εἴρηκα ἔκ τινος θείας ὑποδείξεως.« τοσαῦτα δὲ εἰπὼν ἐκέλευσεν αὐτοὺς ἀποστῆναι καὶ μηδένα κωλῦσαι τὸ θηρίον προσελθεῖν, φάσκων, ἐὰν ἀποτρέψωσιν, οὐ συνοίσειν αὐτοῖς. ποιήσαντος δὲ τοῦ πλήθους τὸ προσταχθὲν οὐκ εἰς μακρὰν παραγίνεται ὁ λύκος. ἰδὼν δὲ αὐτὸν ὁ Πόπλιος κατέβη ἀπὸ τῆς δρυὸς καὶ ἔπεσεν ὕπτιος, ὁ δὲ λύκος ἀνασχίσας αὐτὸν κατεδαίνυτο πάντων ὁρώντων. ἀναλώσας δὲ τὸ σῶμα αὐτοῦ πλὴν τῆς κεφαλῆς ἐτράπετο εἰς τὸ ὄρος. προσελθόντος δὲ τοῦ ὄχλου καὶ βουλομένου ἀνελέσθαι τὰ ἀπολελειμμένα, κτερίσαι τε αὐτὰ νομίμως, ἡ κεφαλὴ κειμένη ἐπὶ τῆς γῆς ἀνεῖπε τοὺς στίχους τούτους·

μὴ ψαῦ' ἡμετέρης κεφαλῆς· οὐ γὰρ θέμις ἐστίν,
οἷσιν Ἀθηναίη χόλον ἄγριον ἐν φρεσὶ θῆκεν,
ἅπτεσθαι θείοιο καρήατος· ἀλλὰ πέπαυσο,
μαντοσύνην τ' ἐπάκουσον ἀληθέα τήν περ ἐρῶ σοι.
ἥξει γὰρ χθόνα τήνδε πολὺς καὶ καρτερὸς Ἄρης,
ὃς λαὸν μὲν ἔνοπλον ὑπὸ σκότον Ἄϊδι πέμψει,
ῥήξει δ' αὖ λιθίνους πύργους καὶ τείχεα μακρά,
ὄλβον δ' ἡμέτερον καὶ νήπια τέκν' ἀλόχους τε
μάρψας εἰς Ἀσίην ἄξει διὰ κῦμα περήσας.

8. κωλύσαι cod. | 9. ἀποστρέψωσιν cod., corr. Meineke. | 16. ὑπολελειμμένα corr. Meineke. | 17. αὐτὸν cod. corr. Meineke. | 22. ἤπερ ἐρεῖ σοι cod., corr. Meineke. | 23. τῆνδε cod. ut uid. | 24. ἔνοπλον μὲν cod. pr.

ταῦτά σοι εἴρηκεν νημερτέα Φοῖβος Ἀπόλλων
Πύθιος, ὅς μοι ἐὸν κρατερὸν θεράποντ' ἐπιπέμψας
ἤγαγεν εἰς μακάρων τε δόμους καὶ Περσεφονείης.
ἀκούσαντες δὲ τῶν ἐπῶν τούτων οὐ μετρίως ἐταράχθησαν, ἱδρυσάμενοί τε ναὸν Ἀπόλλωνος Λυ-
κ⟨ε⟩ίου καὶ βωμόν, οὗπερ ἔκειτο ἡ κεφαλή, ἐνέβησαν εἰς τὰς ναῦς καὶ ἀπέπλεον ἕκαστοι ἐπὶ τὰς ἑαυτῶν πατρίδας. καὶ συνέβη ἅπαντα τὰ ὑπὸ τοῦ Ποπλίου ῥηθέντα γενέσθαι.

IV. Ἱστορεῖ δὲ καὶ Ἡσίοδος καὶ Δικαίαρχος καὶ Κλέαρχος καὶ Καλλίμαχος καὶ ἄλλοι τινὲς περὶ Τειρεσίου τάδε. Τειρεσίαν τὸν Εὐήρους ἐν Ἀρκαδίᾳ [ἄνδρα] ὄντα ἐν τῷ ὄρει τῷ ἐν Κυλλήνῃ ὄφεις ἰδόντα ὀχεύοντας τρῶσαι τὸν ἕτερον καὶ παρὰ χρῆμα μεταβαλεῖν τὴν ἰδέαν· γενέσθαι γὰρ ἐξ ἀνδρὸς γυναῖκα καὶ μιχθῆναι ἀνδρί. τοῦ δὲ Ἀπόλλωνος αὐτῷ χρήσαντος, ὡς ἐὰν τηρήσας ὀχεύοντας ὁμοίως τρώσῃ τὸν ἕνα ἔσται οἷος ἦν, παραφυλάξαντα τὸν Τειρεσίαν ποιῆσαι τὰ ὑπὸ τοῦ Θεοῦ ῥηθέντα καὶ οὕτως ⟨ἀνα⟩κομίσασθαι τὴν ἀρχαίαν φύσιν. Διὸς δὲ ἐρίσαντος Ἥρᾳ καὶ φαμένου ἐν ταῖς συνουσίαις πλεονεκτεῖν τὴν γυναῖκα τοῦ ἀνδρὸς τῇ τῶν ἀφροδισίων ἡδονῇ καὶ τῆς Ἥρας φασκούσης τὰ ἐναντία, δόξαι αὐτοῖς μεταπεμψαμένοις ἐρέσθαι τὸν Τειρεσίαν διὰ τὸ τῶν τρόπων ἀμφοτέρων πεπειρᾶσθαι. τὸν δὲ ἐρωτώμενον ἀποφήνασθαι, διότι μοιρῶν οὐσῶν δέκα τὸν ἄνδρα τέρπεσθαι τὴν μίαν, τὴν δὲ

3. μακάρων] ἑνέρων Nauck. | 7. ἕκαστος cod., corr. Meineke. | 11. κλείταρχος cod., corr. Müll. | 12. εὐμάρους cod., corr. Meursius | 20. κομίσασθαι cod., corr. Nauck. | 22. τῆς ... ἡδονῆς cod. corr. H. | 24. ἔρεσθαι cod.

γυναῖκα τὰς ἐννέα. τὴν δὲ Ἥραν ὀργισθεῖσαν κατανύξαι αὐτοῦ τοὺς ὀφθαλμοὺς καὶ ποιῆσαι τυφλόν, τὸν δὲ Δία δωρήσασθαι αὐτῷ τὴν μαντικήν, καὶ βιοῦν ἐπὶ γενεὰς ἑπτά.

V. Οἱ αὐτοὶ ἱστοροῦσιν κατὰ τὴν Λαπίθων χώραν γενέσθαι Ἐλάτῳ τῷ βασιλεῖ θυγατέρα, ὀνομαζομένην Καινίδα· ταύτῃ δὲ Ποσειδῶνα μιγέντα ἐπαγγείλασθαι ποιήσειν αὐτὴν ὃ ἂν ἐθέλῃ, τὴν δὲ ἀξιῶσαι μεταλλάξαι αὐτὴν εἰς ἄνδρα, ποιῆσαί τε ἄτρωτον. τοῦ δὲ Ποσειδῶνος κατὰ τὸ ἀξιωθὲν ποιήσαντος μετονομασθῆναι Καινέα.

VI. Καὶ ἐν Ἀντιοχείᾳ δὲ τῇ πρὸς Μαιάνδρῳ ποταμῷ ἐγένετο ἀνδρόγυνος, ἄρχοντος Ἀθήνησιν Ἀντιπάτρου, ὑπατευόντων ἐν Ῥώμῃ Μάρκου Βινικίου καὶ Τίτου Στατιλίου Ταύρου, τοῦ Κορβίνου ἐπικληθέντος. παρθένος γὰρ γονέων ἐπισήμων τρισκαιδεκαέτις ὑπάρχουσα ὑπὸ πολλῶν ἐμνηστεύετο, οὖσα εὐπρεπής. ὡς δ' ἐνεγυήθη ᾧ οἱ γονεῖς ἐβούλοντο, ἐνστάσης τῆς ἡμέρας τοῦ γάμου προϊέναι τοῦ οἴκου μέλλουσα αἰφνιδίως πόνου ἐμπεσόντος αὐτῇ σφοδροτάτου ἐξεβόησεν· ἀναλαβόντες δ' αὐτὴν οἱ προσήκοντες ἐθεράπευον, ὡς ἀλγήματα ἔχουσαν κοιλίας καὶ στρόφους τῶν ἐντός· τῆς δὲ ἀλγηδόνος ἐπιμενούσης τρισὶν ἡμέραις ἐξῆς, ἀπορίαν τε πᾶσι τοῦ πάθους ποιοῦντος, τῶν πόνων οὔτε νυκτὸς οὔτε ἡμέρας ἔνδοσιν λαμβανόντων, καί τοι πᾶσαν μὲν θεραπείαν αὐτῇ προσφερόντων ⟨τῶν⟩ ἐν τῇ

5. Λαπιθῶν Müll. | 8. αὐτὴν cod. αὐτῇ Leopardi. | 13. ἀθήνησιν cod. | 15. κουρβιλίου cod., Κορβίνου Meursius. | 16. τρισκαιδεκαέτις cod. τρισκαιδεκαέτης edit. | 18. ἐνεγυήθη cod. ἐνεγγυήθη edit.

πόλει ἰατρῶν, μηδεμίαν δὲ τοῦ πάθους δυναμένων αἰτίαν εὑρεῖν, τῇ τετάρτῃ τῶν ἡμερῶν περὶ τὸν ὄρθρον μείζονα τῶν πόνων ἐπίδοσιν λαμβανόντων, σὺν μεγάλῃ οἰμωγῇ ἀνακραγούσης, ἄφνω αὐτῇ ἀρσενικὰ μόρια προέπεσεν, καὶ ἡ κόρη ἀνὴρ ἐγένετο. μετὰ δὲ χρόνον εἰς Ῥώμην ἀνηνέχθη πρὸς Κλαύδιον Καίσαρα, ὁ δὲ τούτου ἕνεκα τοῦ σημείου ἐν Καπετωλίῳ Διὶ Ἀλεξικάκῳ ἱδρύσατο βωμόν.

VII. Ἐγένετο καὶ ἐν Μηου⟨α⟩νίᾳ, πόλει τῆς Ἰταλίας, ἐν Ἀγριππίνης τῆς Σεβαστῆς ἐπαύλει ἀνδρόγυνος, ἄρχοντος Ἀθήνησιν Διονυσοδώρου, ὑπατευόντων ἐν Ῥώμῃ Δέκμου Ἰουνίου Σιλανοῦ Τορκουάτου καὶ Κοΐντου Ἀτερίου Ἀντωνίνου. Φιλωτὶς γάρ τις ὀνόματι παρθένος, Σμυρναία τὸ γένος, ὡραία πρὸς γάμον ὑπὸ τῶν γονέων κατεγγεγυημένη ἀνδρί, μορίων αὐτῇ προφανέντων ἀρρενικῶν ἀνὴρ ἐγένετο.

VIII. Καὶ ἄλλος δέ τις ἀνδρόγυνος κατὰ τοὺς αὐτοὺς χρόνους ἐγένετο ἐν Ἐπιδαύρῳ, γονέων ἀπόρων παῖς, ὃς ἐκαλεῖτο πρότερον Συμφέρουσα, ἀνὴρ δὲ γενόμενος ὠνομάζετο Συμφέρων, κηπουρῶν δὲ τὸν βίον διῆγεν.

IX. Καὶ ἐς Λαοδίκειαν δὲ τῆς Συρίας γυνή, ὀνόματι Αἰτητή, συνοικοῦσα τῷ ἀνδρὶ ἔτι μετέβαλε τὴν μορφὴν καὶ μετωνομάσθη Αἰτητὸς ἀνὴρ γενόμενος, ἄρχοντος Ἀθήνησιν Μακρίνου, ὑπατευόντων ἐν Ῥώμῃ Λουκίου Αἰμυλίου Αἰλιανοῦ καὶ . . . Οὐέτερος. τοῦτον καὶ αὐτὸς ἐθεασάμην.

X. Ἐγεννήθη καὶ ἐπὶ Ῥώμης ἀνδρόγυνος, ἄρ-

11. ἀθήνησιν cod. | 13. ἀστερίου cod. corr. Meursius. | 25. ἀθήνησιν cod. | 26. Αἰμυλίου Αἰλιανοῦ καὶ Meursius λαμία καὶ αἰλιανοῦ cod.

γυναῖκα τὰς ἐννέα. τὴν δὲ Ἥραν ὀργισθεῖσαν κατανύξαι αὐτοῦ τοὺς ὀφθαλμοὺς καὶ ποιῆσαι τυφλόν, τὸν δὲ Δία δωρήσασθαι αὐτῷ τὴν μαντικήν, καὶ βιοῦν ἐπὶ γενεὰς ἑπτά.

V. Οἱ αὐτοὶ ἱστοροῦσιν κατὰ τὴν Λαπίθων χώραν γενέσθαι Ἐλάτῳ τῷ βασιλεῖ θυγατέρα, ὀνομαζομένην Καινίδα· ταύτῃ δὲ Ποσειδῶνα μιγέντα ἐπαγγείλασθαι ποιήσειν αὐτὴν ὃ ἂν ἐθέλῃ, τὴν δὲ ἀξιῶσαι μεταλλάξαι αὐτὴν εἰς ἄνδρα, ποιῆσαί τε ἄτρωτον. τοῦ δὲ Ποσειδῶνος κατὰ τὸ ἀξιωθὲν ποιήσαντος μετονομασθῆναι Καινέα.

VI. Καὶ ἐν Ἀντιοχείᾳ δὲ τῇ πρὸς Μαιάνδρῳ ποταμῷ ἐγένετο ἀνδρόγυνος, ἄρχοντος Ἀθήνησιν Ἀντιπάτρου, ὑπατευόντων ἐν Ῥώμῃ Μάρκου Βινικίου καὶ Τίτου Στατιλίου Ταύρου, τοῦ Κορβίνου ἐπικληθέντος. παρθένος γὰρ γονέων ἐπισήμων τρισκαιδεκαέτις ὑπάρχουσα ὑπὸ πολλῶν ἐμνηστεύετο, οὖσα εὐπρεπής. ὡς δ' ἐνεγυήθη ᾧ οἱ γονεῖς ἐβούλοντο, ἐνστάσης τῆς ἡμέρας τοῦ γάμου προϊέναι τοῦ οἴκου μέλλουσα αἰφνιδίως πόνου ἐμπεσόντος αὐτῇ σφοδροτάτου ἐξεβόησεν· ἀναλαβόντες δ' αὐτὴν οἱ προσήκοντες ἐθεράπευον, ὡς ἀλγήματα ἔχουσαν κοιλίας καὶ στρόφους τῶν ἐντός· τῆς δὲ ἀλγηδόνος ἐπιμενούσης τρισὶν ἡμέραις ἐξῆς, ἀπορίαν τε πᾶσι τοῦ πάθους ποιοῦντος, τῶν πόνων οὔτε νυκτὸς οὔτε ἡμέρας ἔνδοσιν λαμβανόντων, καί τοι πᾶσαν μὲν θεραπείαν αὐτῇ προσφερόντων ⟨τῶν⟩ ἐν τῇ

5. Λαπιθῶν Müll. | 8. αὐτὴν cod. αὐτῇ Leopardi. | 13. ἀθήνησιν cod. | 15. κουρβιλίου cod., Κορβίνου Meursius. | 16. τρισκαιδεκαέτις cod. τρισκαιδεκαέτης edit. | 18. ἐνεγυήθη cod. ἐνεγγυήθη edit.

πόλει ἰατρῶν, μηδεμίαν δὲ τοῦ πάθους δυναμένων αἰτίαν εὑρεῖν, τῇ τετάρτῃ τῶν ἡμερῶν περὶ τὸν ὄρθρον μείζονα τῶν πόνων ἐπίδοσιν λαμβανόντων, σὺν μεγάλῃ οἰμωγῇ ἀνακραγούσης, ἄφνω αὐτῇ ἀρσενικὰ μόρια προέπεσεν, καὶ ἡ κόρη ἀνὴρ ἐγένετο. μετὰ δὲ χρόνον εἰς Ῥώμην ἀνηνέχθη πρὸς Κλαύδιον Καίσαρα, ὁ δὲ τούτου ἕνεκα τοῦ σημείου ἐν Καπετωλίῳ Διὶ Ἀλεξικάκῳ ἱδρύσατο βωμόν.

VII. Ἐγένετο καὶ ἐν Μηου⟨α⟩νίᾳ, πόλει τῆς Ἰταλίας, ἐν Ἀγριππίνης τῆς Σεβαστῆς ἐπαύλει ἀνδρόγυνος, ἄρχοντος Ἀθήνησιν Διονυσοδώρου, ὑπατευόντων ἐν Ῥώμῃ Δέκμου Ἰουνίου Σιλανοῦ Τορκουάτου καὶ Κοΐντου Ἀτερίου Ἀντωνίνου. Φιλωτὶς γάρ τις ὀνόματι παρθένος, Σμυρναία τὸ γένος, ὡραία πρὸς γάμον ὑπὸ τῶν γονέων κατεγγεγυημένη ἀνδρί, μορίων αὐτῇ προφανέντων ἀρρενικῶν ἀνὴρ ἐγένετο.

VIII. Καὶ ἄλλος δέ τις ἀνδρόγυνος κατὰ τοὺς αὐτοὺς χρόνους ἐγένετο ἐν Ἐπιδαύρῳ, γονέων ἀπόρων παῖς, ὃς ἐκαλεῖτο πρότερον Συμφέρουσα, ἀνὴρ δὲ γενόμενος ὠνομάζετο Συμφέρων, κηπουρῶν δὲ τὸν βίον διῆγεν.

IX. Καὶ ἐς Λαοδίκειαν δὲ τῆς Συρίας γυνή, ὀνόματι Αἰτητή, συνοικοῦσα τῷ ἀνδρὶ ἔτι μετέβαλε τὴν μορφὴν καὶ μετωνομάσθη Αἰτητὸς ἀνὴρ γενόμενος, ἄρχοντος Ἀθήνησιν Μακρίνου, ὑπατευόντων ἐν Ῥώμῃ Λουκίου Αἰμυλίου Αἰλιανοῦ καὶ . . . Οὐέτερος. τοῦτον καὶ αὐτὸς ἐθεασάμην.

X. Ἐγεννήθη καὶ ἐπὶ Ῥώμης ἀνδρόγυνος, ἄρ-

11. ἀθήνησιν cod. | 13. ἀστερίου cod. corr. Meursius. | 25. ἀθήνησιν cod. | 26. Αἰμυλίου Αἰλιανοῦ καὶ Meursius λαμία καὶ αἰλιανοῦ cod.

χοντος Ἀθήνησιν Ἰάσονος, ὑπατευόντων ἐν Ῥώμῃ
Μάρκου Πλα⟨υ⟩τίου καὶ Λουκίου Κανινίου ...
Τψαίου καὶ Μάρκου Φουλβίου Φλάκκου· δι' ἣν
αἰτίαν ἡ σύγκλητος ἐκέλευσεν τοὺς ἱερομνήμονας
ἀναγνῶναι τοὺς Σιβύλλης χρησμούς, καὶ ἐξηγή-
σαντο τοὺς χρησμούς. εἰσὶν δὲ οἱ χρησμοὶ οἵδε·
ὅσσα τέρα καὶ ὅσσα παθήματα τλήμονος αἴσης
ἱστὸς ἐμὸς νήσει, τάδ' ἐνὶ φρεσὶν αἴκε νοήσῃς,
Ῥώμη ἐῇ πίσυνος· καί τοί ποτέ φημι γυναῖκα
ἀνδρόγυνον τέξεσθαι ἔχοντά περ ἄρσενα πάντα,
νηπίαχαί θ' ὅσα θηλύτεραι φαίνουσι γυναῖκες.
οὐκ ἔτι δὴ κρύψω, θυσίας δέ τοι ἐξαγορεύσω
προφρονέως Δήμητρι καὶ ἀγνῇ Περσεφονείῃ.
ἵστω δ' αὐτὴ ἄνασσα θεά, τὰ μὲν εἶκε πίθηαι,
σεμνοτάτῃ Δήμητρι καὶ ἀγνῇ Περσεφονείῃ.
θησαυρὸν μὲν πρῶτα νομίσματος εἰς ἓν ἀθροίσας,
ὅττι θέλεις ἀπὸ παμφύλων πόλεών τε καὶ αὐτῶν,
μητρὶ Κόρης Δήμητρι † κέλευ θυσίαν προτίθεσθαι.
αὐτὰρ δημοσίᾳ κέλομαί σε τρὶς ἐννέα ταύρους
. . .
φανὰς ἠϋκέρους θυέμεν λευκότριχας, αἳ κεν
ὑμετέρᾳ γνώμῃ κάλλει προφερέσταται ὦσιν.
παῖδας, ὅσας πάρος εἶπα, κέλευ' ἀγελαστὶ τάδ' ἕρδειν
ἀθανάτην βασίλισσαν ἐπευχομένας θυέεσσιν

1. ἀθήνησιν cod. | 2. σέξτου καρμινίου cod. corr. W. | 3. Τψαίου Meursius ὑιαίου cod. | 5. ἐξηγήσαντο (ιλα supra ηγη) cod. | 7. carmen acrostichum. — τλήμονος Nauck δαίμονος cod. | 8. νήσει Nauck λύσει cod. | 11. νηπίαχαι cod. νηπιαχαί W. — θ' supra versum cod. | 14. πίθησα Meursius. | 23. κέλευ ἀχαϊστὶ τάδ' ἕρδειν cod. κέλευ' ἀγελαστὶ τάδ' ἕρδειν Nauck. | 25. ἐπευχομένην cod. ἐπευχομένας coni. W.

σεμνῶς καὶ καθαρῶς· τότε δὴ μετέπειτα δεχέσθω
ἔμπεδ' ἀφ' ὑμετέρων ἀλόχων ἱέρ', αὐτὰρ ἐπ' αὐτοῖς
ἱστῷ ἐμῷ πίσυνοι λαμπρὸν φάος αἴδε φερόντων
σεμνοτάτῃ Δήμητρι τὸ δεύτερον αὖτε λαβοῦσαι
τρὶς τόσα νήφαλα πάντα πυρὸς μαλεροῖο τιθέντων,
ὅσσαι ἐπισταμένως θυσίαν γραῖαι προτίθενται.
προφρονέως δ' ἄλλαι Πλουτωνίδι τόσσα λαβοῦσαι,
ὅσσαι ἐν ἡλικίῃ νεοθηλέα θυμὸν ἔχουσιν
νηπίαχοι, σεμνὴν Πλουτωνίδα παντοδίδακτον
ἐν πάτρᾳ εὐχέσθων μίμνειν πολέμου κρατέοντος,
λήθην δ' ἐν στήθεσσι πεσεῖν πολέμου καὶ ἀϋτῆς.
θησαυρὸν δὲ κόροι καὶ παρθένοι ἔνθα φερόντων,
ἱστῷ θειοπαγεῖ καὶ ὑφάσματα ποικίλα σεμνήν,
Πλούτωνι † κοσμεῖτο ὅπως σχέσις ᾗσι κακοῖσι.
προφρονέως δ' ὅ τι κάλλιστον καὶ εὐκτὸν ἐπ' αἶαν
ὡς θνητοῖσιν ἰδέσθαι ἐπέπλετο, καὶ τὸ φέρεσθαι
ἱστῷ σύμμικτον δῶρον βασιληίδι κούρῃ·
αὐτὰρ ὅταν Δήμητρι καὶ ἀγνῇ Περσεφονείῃ.
γαίας ὑμετέρας ἀπερυκέμεναι ζυγὸν αἰεί,
Ἀιδωνεῖ Πλούτωνι βοὸς κυανότριχος αἷμα,
λαμπροῖς εἵμασι κοσμητοῦ μετὰ ποιμένος, ὅστις
λήματι ᾧ πίσυνος βοὸς ἄρταμος αὐτὸς ὅδ' ἔσται
ὅσσοι τ' ἄλλοι ὁμοῦ πίσυνοι κατὰ πατρίδ' ἔασι·
μὴ γὰρ ἀπιστόφιλυς θυσίαισιν ἀνὴρ παρεπέσθω·

3. *πίσυ//νοι* cod. — *φάος*· *αἳ δὲ* cod. | 4. *αὖτε* coni. W. *αὐταὶ* cod. *αὐτὰ* X. | 6. *γρααὶ* cod. corr. N. | 8. *νεοθαλέα* cod. corr. N. | 9. *παντοδίδακτοι* cod. | 11. *λήθην ἐλλήνεσσι πεσεῖν πόλεώς τε καὶ αὐτῆς* cod. corr. E. | 12. *δὲ κόροι* E. *δ' ἕτεροι* cod. | 13. *νυμφάσματα* cod. corr. E. | 14. *πλουτωνι κοσμειτο οπως σχεσίησι κακοῖσι* cod. *σχέσις ᾗσι* X. | 15. *ὅ, τι* cod. *ὅτι* edit. | 20. *αιδωνη* cod. *Ἀιδωνεῖ* Cobet. | 21. *ἱμάσι* cod. *εἵμασι* Meursius. — *κοσμητοῦ* N. *κοσμητοὺς* cod. | 22. *λήματι ᾧ* N. *ἡματίῳ* cod. — *ἄρτεμος* cod. *ἄρταμος* N. — *ὅδ'*] *ὁ δ'* cod.

ἔξω δ' ἔνθ' ἀνόμιστον ἐπέπλετο φωτὶ τάδ' ἔρδειν,
νούπιστοι καταδαιτὸν ἔχειν θυσίαν, κατὰ δ' αὐτὴν
ὅστις ἂν ἡμετέρων χρησμῶν ἴδρις ἐς τόδ' ἵκηται,
σεμνὸν Φοῖβον ἄνακτα μετελθέτω ἐν θυσίαισι,
προφρονέως βωμοῖς ἐπὶ πίονα μηρία καύσας,
αἰγῶν παλλεύκων νεάτην· ἀτὰρ οἴδατε πάντες,
λισσέσθω Φοῖβον παιήονα κρᾶτα πυκάσσας
ἱκτήρ, ἐσπίπτοντος ὅπως λύσις ᾖσι κακοῖο,
νοστήσας δ' ἀπὸ τοῦ βασιληίδα πότνιαν Ἥρην·
ἀργὴν βοῦν θύων πατρίοισι νόμοισι κατ' αἶσαν,
ὑμνεῖν αἵ κε γένει προφερέστεραι ὧσ' ἐνὶ λαοῖς,
καὶ νήσων ναέται τῶν ἀγχιάλων ὅτ' ἂν εἶεν·
οὐ δόλῳ, ἀλλὰ βίᾳ Κυμαῖδα πρόφρονες αὗται,
νάσσωνται σεμνῆς βασιληίδος οἷς † ἐτίθενται,
ἐν πατρίοισι νόμοις Ἥρας ξόανόν τε κατ' οἶκον,
ἵξει δ' ἂν μύθοισιν ἐμοῖς τάδε πάντα πίθηαι,
σεμνοτάτην βασίλισσαν ἐπέλθῃς ἐν θυσίαισιν·
ἐν πολλῷ χρόνῳ αὖ τότ' ἐφ' ὕστερον ὅς κεν ἐπ'
αὐτοῖς,
νήφαλά κεν ῥέξας ὅσαι ἡμέραι εἴσ' ἐνιαυτοῦ.
ὅς κε τάδε ῥέξῃ, κείνου κράτος ἔσσεται αἰεί.
νηφαλίμων ἀρνῶν τε ταμὼν χθονίοις τάδε ῥέξον,
ἦμος ἂν ἤδη ἔχοις μεγαλήτην οὐκ † ἀπάντη
ξεστοδόταν ξοάνῃσιν καὶ τἄλλ' ὅσ' ἔλεξα σάφ' ἴσθι
ἐν πετάλοισιν ἐμοῖς ὑπὸ κερκίδος ἀμφὶ καλύπτρας

1. ἔνθα νομιστὸν X. — ἔρδειν W. | 2. καταδαιτον cod. | 6. παλλεύκων cod. | 8. vid. praef. — λυσίης ακακοιο cod., corr. E. | 11. αἵκε cod. αἵ κε X. — ωσενι λαοῖς· cod. | 12. νήσσων cod. — τὴν ἀντιπάλων ὅτ' ἂν αἶαν cod. τῶν ἀγχιάλων ὅτ' ἂν εἶεν coni. Müll. | 14. ὁἰσετίθενται cod. | 16. τίθηνται cod. corr. E. | 18. τόθ' cod. | 20. εἰς ἐνιαυτον cod., corr. Nauck. | 21. ῥέξει cod., corr. Nauck. | 23. απαντη cod. | 24. ξεστοδοταν ξοανησιν cod. — ὅσ ἔλεξα σαφι· cod.

θόντα τοῦτο μὲν μηρῶν ὀστᾶ, τοῦτο δὲ κνημῶν καὶ τῶν ἄλλων μελῶν. διὸ οὐ χρὴ οὐδὲ τούτοις ἀπιστεῖν, ἐννοουμένους, ὅτι κατ' ἀρχὰς μὲν ἡ φύσις ἀκμάζουσα ἅπαντα ἐγγὺς θεῶν ἐκουροτρόφει, μαραινομένου δὲ τοῦ χρόνου συμμεμάρανται καὶ τὰ μεγέθη τῶν φύσεων.

XVI. Καὶ τὰ ἐν τῇ Ῥόδῳ δὲ παρειλήφαμεν ὀστᾶ τηλικαῦτα τὸ μέγεθος, ὡς παραβαλλομένους τοὺς νῦν ἀνθρώπους πολὺ καταδεεστέρους εἶναι.

XVII. Ὁ δὲ αὐτός φησιν πλησίον Ἀθηνῶν νῆσόν τινα εἶναι, ταύτην δὲ τοὺς Ἀθηναίους βούλεσθαι τειχίσαι· σκάπτοντας οὖν τοὺς θεμελίους τῶν τειχῶν εὑρεῖν σορὸν ἑκατὸν πηχῶν, ἐν ᾗ εἶναι σκελετὸν ἴσον τῇ σορῷ, ἐφ' ἧς ἐπιγεγράφθαι τάδε·

τέθαμμ' ὁ Μακρόσιρις ἐν νήσῳ μικρᾷ,
ἔτη βιώσας πεντάκις τὰ χίλια.

XVIII. Εὔμαχος δέ φησιν ἐν περιηγήσει Καρχηδονίους περιταφρεύοντας τὴν ἰδίαν ἐπαρχίαν εὑρεῖν ὀρύσσοντας δύο σκελετοὺς ἐν σοροῖς κειμένους, ὧν τοῦ μὲν εἰκοσιτέσσαρας εἶναι πήχεις τὴν σύνθεσιν, τοῦ δὲ ἑτέρου εἰκοσιτρεῖς.

XIX. Θεόπομπος δέ φησιν ὁ Σινωπεὺς ἐν τῷ περὶ σεισμῶν ἐν τῷ Κιμμερικῷ Βοσπόρῳ αἰφνιδίως σεισμοῦ γενομένου τῶν παρ' αὐτοῖς τινα ἀναρραγῆναι λόφον καὶ ἀναβαλεῖν ὀστᾶ ὑπερμεγέθη, ὥστε τὴν σύνθεσιν τοῦ σκελετοῦ πηχῶν εὑρεθῆναι εἰκοσιτεσσάρων. ταῦτα δέ φησιν τὰ ὀστᾶ τοὺς περιοικοῦντας βαρβάρους εἰς τὴν Μαιῶτιν ῥῖψαι λίμνην.

11. δὲ cod. δὴ edit. | 13. τοίχων cod. corr. H. | 14. ἴσον W. ἐπιγέγραπται cod. corr. Leopardi. | 15. μακρόσειρις ... μακρᾷ cod. corr. H. | 16. τὰ supra versum cod. | 21. εἰκοσι τρεῖς cod. | 42. τῶν Leopardi τὸν cod.

ἐν τῇ Ῥωμαίων ἀγορᾷ, καὶ τῶν πόλεων ἑκάστης ἐφεξῆς ἀνδριάντας παρέστησαν.

XIV. Ἔπαθον δὲ καὶ τῆς Σικελίας ὑπὸ τοῦ σεισμοῦ οὐκ ὀλίγαι πόλεις καὶ τὰ πλησίον Ῥηγίου. ἐσείσθη δὲ οὐκ ὀλίγα καὶ τῶν ἐν Πόντῳ ἐθνῶν. κατὰ δὴ τῆς γῆς τὰς διαστάσεις ἐφάνη σώματα εὐμεγέθη, ἃ ἐκπλαγέντες οἱ ἐπιχώριοι κινῆσαι μὲν ὤκνησαν, δείγματος δ' ἕνεκεν ἔπεμψαν εἰς τὴν Ῥώμην ὀδόντα ἑνός, οὐ ποδιαῖον μόνον, ἀλλ' ὑπερβάλλοντα καὶ τοῦτο τὸ μέτρον. ἐπιδείξαντες δὲ Τιβερίῳ οἱ πρέσβεις εἴροντο, εἰ βούλεται κομισθῆναι τὸν ἥρω πρὸς αὐτόν. ὁ δὲ πρὸς ταῦτα ἐμφρόνως ἐβουλεύσατο, μήτε τῆς γνώσεως τοῦ μεγέθους ἑαυτὸν ἀποστερήσας, τό τε ἀνόσιον τῆς νεκροσυλίας παραιτησάμενος. γεωμέτρην γάρ τινα τῶν οὐκ ἀφανῶν, Ποῦλχρον ὀνόματι, τιμώμενον ὑπ' αὐτοῦ διὰ τὴν τέχνην, καλέσας πρόσωπον ἐκέλευσε πλάσαι πρὸς τὸ μέγεθος τοῦ ὀδόντος. ὁ δὲ σταθμησάμενος, ἡλίκον ἂν γένοιτο τό τε σύμπαν σῶμα καὶ τὸ πρόσωπον αὐτοῦ τῷ τοῦ ὀδόντος ὄγκῳ, ἐργασάμενος διὰ ταχέων ἐκόμισε τῷ αὐτοκράτορι. κἀκεῖνος εἰπὼν ἀρκεῖσθαι τῇ θέᾳ ταύτῃ, ἀποπέμπει τὸν ὀδόντα ἐκεῖσε ὅθεν καὶ ἐκομίσθη.

XV. Οὐ χρὴ δὲ ἀπιστεῖν τῷ εἰρημένῳ, ἐπεὶ καὶ τῆς Αἰγύπτου Νιτρίαι εἰσὶν τόποι, ἐν αἷς δείκνυται σώματα οὐκ ἐλάττω τούτων, οὐ κεκρυμμένα γῇ, ἀλλ' ἐμφανῆ ἀφειμένα, οὔτε συγκέχυται οὔτε συμπεφόρηται, ἀλλ' ἐν τάξει κεῖται, ὡς γνωρίσαι προσελ-

6. σωμάτων μεγέθη cod. corr. N. | 11. εἴροντο cod., εἴ in ras. ut uid. | 18. μέγεθος cod. | 25. λίτραι cod. corr. N. | 27. συμπεφύρηται Meursius.

θόντα τοῦτο μὲν μηρῶν ὀστᾶ, τοῦτο δὲ κνημῶν καὶ τῶν ἄλλων μελῶν. διὸ οὐ χρὴ οὐδὲ τούτοις ἀπιστεῖν, ἐννοουμένους, ὅτι κατ' ἀρχὰς μὲν ἡ φύσις ἀκμάζουσα ἅπαντα ἐγγὺς θεῶν ἐπουροτρόφει, μαραινομένου δὲ τοῦ χρόνου συμμεράνται καὶ τὰ μεγέθη τῶν φύσεων.

XVI. Καὶ τὰ ἐν τῇ Ῥόδῳ δὲ παρειλήφαμεν ὀστᾶ τηλικαῦτα τὸ μέγεθος, ὡς παραβαλλομένους τοὺς νῦν ἀνθρώπους πολὺ καταδεεστέρους εἶναι.

XVII. Ὁ δὲ αὐτός φησιν πλησίον Ἀθηνῶν νῆσόν τινα εἶναι, ταύτην δὲ τοὺς Ἀθηναίους βούλεσθαι τειχίσαι· σκάπτοντας οὖν τοὺς θεμελίους τῶν τειχῶν εὑρεῖν σορὸν ἑκατὸν πηχῶν, ἐν ᾗ εἶναι σκελετὸν ἴσον τῇ σορῷ, ἐφ' ἧς ἐπιγεγράφθαι τάδε·

τέθαμμ' ὁ Μακρόσιρις ἐν νήσῳ μικρᾷ,
ἔτη βιώσας πεντάκις τὰ χίλια.

XVIII. Εὔμαχος δέ φησιν ἐν περιηγήσει Καρχηδονίους περιταφρεύοντας τὴν ἰδίαν ἐπαρχίαν εὑρεῖν ὀρύσσοντας δύο σκελετοὺς ἐν σοροῖς κειμένους, ὧν τοῦ μὲν εἰκοσιτέσσαρας εἶναι πήχεις τὴν σύνθεσιν, τοῦ δὲ ἑτέρου εἰκοσιτρεῖς.

XIX. Θεόπομπος δέ φησιν ὁ Σινωπεὺς ἐν τῷ περὶ σεισμῶν ἐν τῷ Κιμμερικῷ Βοσπόρῳ αἰφνιδίως σεισμοῦ γενομένου τῶν παρ' αὐτοῖς τινα ἀναρραγῆναι λόφον καὶ ἀναβαλεῖν ὀστᾶ ὑπερμεγέθη, ὥστε τὴν σύνθεσιν τοῦ σκελετοῦ πηχῶν εὑρεθῆναι εἰκοσιτεσσάρων. ταῦτα δέ φησιν τὰ ὀστᾶ τοὺς περιοικοῦντας βαρβάρους εἰς τὴν Μαιῶτιν ῥῖψαι λίμνην.

11. δὲ cod. δὴ edit. | 13. τοίχων cod. corr. H. | 14. ἴσον W. ἐπιγέγραπται cod. corr. Leopardi. | 15. μακρόσειρις ... μακρᾷ cod. corr. H. | 16. τὰ supra versum cod. | 21. εἰκοσι τρεῖς cod. | 42. τῶν Leopardi τὸν cod.

XX. *Παιδίον πρὸς Νέρωνα ἐκομίσθη τετρακέφαλον, ἀνάλογα ἔχον καὶ τὰ ἄλλα μέλη, ἄρχοντος Ἀθήνησιν Θρασύλλου, ὑπατευόντων ἐν Ῥώμῃ Ποπλίου Πετρωνίου Τουρπιλιανοῦ καὶ Καισωνίου Παίτου.*

XXI. *Καὶ ἕτερον ἐγεννήθη ἐπὶ τοῦ ἀριστεροῦ ὤμου κεφαλὴν ἐκπεφυκυῖαν ἔχον.*

XXII. *Ἐγένετο σημεῖον παράδοξον ἐπὶ Ῥώμης, ἄρχοντος Ἀθήνησιν Δεινοφίλου, ὑπατευόντων ἐν Ῥώμῃ Κοΐντου Οὐηρανίου καὶ Γαΐου Πομπηΐου Γάλλου. Ῥαικίου γὰρ Ταύρου, ἀνδρὸς στρατηγικοῦ, τῆς γυναικὸς θεράπαινα τῶν τετιμημένων ἀπεκύησε πίθηκον,*

XXIII. *Κορνηλίου Γαλλικανοῦ ἡ γυνὴ παιδίον ἔτεκεν, κεφαλὴν ἔχον Ἀνούβιδος ἐπὶ Ῥώμης, ἄρχοντος Ἀθήνησιν Δημοστράτου, ὑπατευόντων ἐν Ῥώμῃ Αὔλου Λικιννίου Νερούα Σιλιανοῦ καὶ Μάρκου Οὐεστίνου Ἀττικοῦ.*

XXIV. *Γυνὴ ἀπὸ πόλεως Τριδέντου τῆς Ἰταλίας ἀπεκύησεν ὄφεις ἐσφαιρωμένους, ὑπατευόντων ἐν Ῥώμῃ Δομετιανοῦ Καίσαρος τὸ ἕνατον καὶ Πετιλίου Ῥούφου τὸ δεύτερον, ἐν Ἀθήναις ἀναρχίας οὔσης.*

XXV. *Ἐν Ῥώμῃ δικέφαλόν τις ἀπεκύησεν ἔμβρυον, ὃ ὑποθήκαις τῶν θυοσκόων εἰς τὸν Τίβεριν ποταμὸν ἐνεβλήθη, ἄρχοντος Ἀθήνησιν Ἀδριανοῦ τοῦ αὐτοκράτορος γενομένου, ὑπατευόντων ἐν Ῥώμῃ*

4. τουσπαλιανοῦ cod. — κεσέννιον πέτου cod. | 10. οὐηρατίου cod., corr. Meursius et W. — γναίου cod., corr. Meursius. | 15. ανούβιδος cod. | 17. λουκηννίου cod., corr. W. — σιλανιανοῦ cod. | 18. οὐηεστίνου cod. | 26. ἀθήνησιν cod.

αὐτοκράτορος Τραϊανοῦ τὸ ἕκτον καὶ Τίτου Σεξτίου Ἀφρικανοῦ.

XXVI. Δωρόθεος δέ φησιν ὁ ἰατρὸς ἐν ὑπομνήμασιν ἐν Ἀλεξανδρείᾳ τῇ κατ' Αἴγυπτον κίναιδον τεκεῖν, τὸ δὲ βρέφος ταριχευθὲν χάριν τοῦ παραδόξου φυλάττεσθαι.

XXVII. Ἐν Γερμανίᾳ ἐν τῷ στρατῷ τῶν Ῥωμαίων, ὃς ἦν ὑπὸ Τίτῳ Κουρτιλίῳ Μαγκίᾳ, τὸ αὐτὸ τοῦτο ἐγένετο. δοῦλος γὰρ στρατιώτου ἔτεκεν, ἄρχοντος Ἀθήνησιν Κόνωνος, ὑπατευόντων ἐν Ῥώμῃ Κοΐντου Οὐ⟨ο⟩λουσίου Σατορνίνου καὶ Ποπλίου Κορνηλίου Σκιπίωνος.

XXVIII. Καὶ Ἀντίγονος δὲ ἱστορεῖ ἐν Ἀλεξανδρείᾳ μίαν γυναῖκα ἐν τέτρασιν τοκετοῖς εἴκοσι τεκεῖν καὶ τὰ πλεῖστα τούτων ἐκτραφῆναι.

XXIX. Καὶ ἑτέρα τις γυνὴ κατὰ τὴν αὐτὴν πόλιν πέντε ἐν ἑνὶ τοκετῷ ἀπεκύησεν παῖδας, τρεῖς μὲν ἄρρενας, δύο δὲ θηλείας· οὓς αὐτοκράτωρ Τραϊανὸς ἐκέλευσεν ἐκ τῶν ἰδίων χρημάτων τρέφεσθαι· πάλιν δὲ μετ' ἐνιαυτὸν ἄλλα τρία ἡ αὐτὴ γυνὴ ἔτεκεν.

XXX. Ἱππόστρατος δέ φησιν ἐν τῷ περὶ Μίνω Αἴγυπτον ἐκ μιᾶς γυναικὸς Εὐρυόπης τῆς Νείλου πεντήκοντα υἱοὺς γεννῆσαι.

XXXI. Δαναός τε ὁμοίως ἐκ μιᾶς γυναικὸς [τῆς Νείλου Εὐρυόπης] πεντήκοντα θυγατέρας ἔσχεν.

XXXII. Κράτερος δέ φησιν, ὁ Ἀντιγόνου τοῦ βασιλέως ἀδελφός, γινώσκειν τινὰ ἄνθρωπον, ὃν

10. ἀθήνησιν cod. | 19. Ἀδριανὸς Meursius. | 23. εὐρυόπης cod., Εὐρυῤῥόης Müll. conl. Tzetz. chil. VII 371. | 26. Εὐρυόπης] Εὐρώπης Tzetzes chil. VII 371. — θυγατερας cod. | 27. κρατερὸς cod., corr. Müll.

ἐν ἑπτὰ ἔτεσιν παῖδα γενέσθαι καὶ μειράκιον καὶ ἄνδρα καὶ γέροντα καὶ γήμαντα καὶ παιδοποιησάμενον ἀποθανεῖν.

XXXIII. Μεγασθένης δέ φησιν τὰς ἐν Πα⟨ν⟩δαίᾳ κατοικούσας γυναῖκας ἑξαετεῖς γενομένας τίκτειν.

XXXIV. Εὑρέθη ἐν Σαύνῃ, τῆς Ἀραβίας πόλει, ἱπποκένταυρος ἐπὶ ὄρους μάλα ὑψηλοῦ, ὃ ἐστιν γέμον φαρμάκου θανασίμου. καλεῖται δὲ τὸ φάρμακον ὁμώνυμον τῇ πόλει, ὀξύτατον δὲ καὶ ἀνυτικώτατον τῶν ὀλεθρίων καθέστηκεν. τὸν δὲ ἱπποκένταυρον συλλαβὼν ὁ βασιλεὺς ζωὸν ἀποπέμπει σὺν ἑτέροις δώροις πρὸς Καίσαρα εἰς τὴν Αἴγυπτον. τροφὴ δὲ ἦν αὐτοῦ κρέα. οὐ φέρων δὲ τὴν μεταβολὴν τοῦ ἀέρος τελευτᾷ, καὶ οὕτως ὁ ἔπαρχος τῆς Αἰγύπτου ταριχεύσας ἀπέστειλεν εἰς Ῥώμην. καὶ πρῶτον ἐν τοῖς βασιλείοις ἐπεδείχθη, τὸ μὲν πρόσωπον ἀγριώτερον τοῦ ἀνθρωπίνου ἔχων, χεῖρας δὲ καὶ τοὺς τούτων δακτύλους τετριχωμένους, πλευρὰ δὲ συναφῆ τοῖς πρώτοις σκέλεσι καὶ τῇ γαστρί. ὁπλαὶ δὲ ἦσαν αὐτῷ ἵππου στερεαὶ καὶ ἐπίξανθοι χαῖται, καίπερ ὑπὸ τῆς ταριχείας συμμελαινόμεναι τῷ δέρματι. μέγεθος δὲ ἦν οὐχ οἷοίπερ οἱ γραφόμενοι, οὐδ' αὖ πάλιν μικρόν.

XXXV. Ἐν δὲ τῇ προειρημένῃ πόλει Σαύνῃ ἐλέγοντο καὶ ἕτεροι εἶναι ἱπποκένταυροι. τὸν δὲ πεμφθέντα εἰς Ῥώμην εἴ τις ἀπιστεῖ, δύναται ἱστορῆσαι· ἀπόκειται γὰρ ἐν τοῖς ὁ⟨ρ⟩ρίοις τοῦ αὐτοκράτορος τεταριχευμένος, ὡς προεῖπον.

4. Πανδαίᾳ Müll. παλαιᾷ cod. | 6. ἑπταέτεας Arrian. hist. Ind. 9, 1. — γινομένας cod. corr. N. | 16. ἀπεδείχθη cod. corr H. | 27. ὁρίοις cod. χωρίοις H.

B. *ΠΕΡΙ ΜΑΚΡΟΒΙΩΝ.*

1. [*Περὶ τῶν ἑκατὸν ἔτη ζησάντων.*] *Οἱ ἑκατὸν ἔτη ζήσαντες Ἰταλῶν, ὡς ἐξ αὐτῶν τῶν ἀποτιμήσεων ἀναζητήσαντες οὐ παρέργως ἐμάθομεν. Λούκιος Κορνήλιος, Λουκίου υἱός, πόλεως Πλακεντίας. Λούκιος Γλαύκιος Οὐῆρος, Λουκίου υἱός, πόλεως Πλακεντίας. Λούκιος Οὐετούστιος Σεκοῦνδος, Λουκίου υἱός, πόλεως Πλακεντίας. Λούκιος Λικίννιος Πάλος, Λουκίου ἀπελεύθερος, πόλεως Πλακεντίας. Λούκιος Ἀκίλιος Μάρκελλος, Λουκίου υἱός, πόλεως Πλακεντίας. Λούκιος Οὐέττιος, Μάρκου υἱός, ⟨πόλεως⟩ Βριξέλλων. Λούκιος Κουσσώνιος, Λουκίου υἱός, πόλεως Κορνηλίας. Λούκιος Γαβίνιος, Λουκίου υἱός, πόλεως Βελείας. Γάϊος Ὁρτήσιος Φρόντων, Σέξτου υἱός, πόλεως Βονωνίας. Γάϊος Νώνιος Μάξιμος, Ποπλίου υἱός, πόλεως Βριξέλλων. Γάϊος Ἀμούριος Τείρων, Γαΐου υἱός, πόλεως Κορνηλίας. Γάϊος Κάσσιος Πούδης, Τίτου υἱός, πόλεως Πάρμης. Γάϊος Τίτ⟨ι⟩ος Κόμμουνις, Γαΐου ἀπελεύθερος, πόλεως Πάρμης. Γάϊος Οὐάτιος Τέρτιος, Σπορίου υἱός, πόλεως Πλακεντίας. Γάϊος Ἰούλιος Πόθος, πόλεως Ῥαβέννης. Γάϊος Οὐαλέριος Πρῖμος, Κοΐντου υἱός, πόλεως Βελείας.*

1. *περὶ — ζησάντων* in mg. add. cod. | 5. *γλαύκειος* cod. — *Λουκίου* nos, *κορνίου* cod., sed in mg. falso ad illam vocem *Πλακεντίας* quae pertinet ad L. Licinnium Palum haec adnotata leguntur: *κορνήλιος λουκίου υἱὸς, πόλεως πλακεντίας.* — *λούκιος* cod. *Λουκίου υἱὸς* W. | 9. *Ἀκίλλιος* edit. | 11. *Κουσσώνιος* Franz. | 13. *γαμίνιος* cod. corr. Bergk. | 14. *πορτήσιος* cod., corr. Bergk. | 17. *καστοπουδης* cod., corr. N. | 18—19. *Γάϊος — Πάρμης* om. edit. *τίτος* cod.

Καισέλλιος Κῦρος, πόλεως Πλακεντίας. Κατία, Γαΐου θυγάτηρ, πόλεως Φαουεντίας. Πόπλιος Φούλβιος Φρύξ, Λουκίου ἀπελεύθερος, πόλεως Πολλησίας. Πόπλιος Ναίβιος, Λουκίου υἱός, πόλεως Βασιλείας. Πόπλιος Δεκέμιος Δημοσθένης, Ποπλίου ἀπελεύθερος, πόλεως Ἀριμίνου. Πετρωνία Κοΐντου, Λουκίου ἀπελευθέρα, πόλεως Πλακεντίας. Πόλλεια Πώλλα, Σπορίου θυγάτηρ, πόλεως † Αἰτωσίας. Μάρκος Οὐιλώνιος Σεβῆρος, πόλεως Οὐελείας. Μάρκος Τερέντιος Ἄλβιος, Μάρκου ἀπελεύθερος, πόλεως Πλακεντίας. Μάρκος Ἀντώνιος, Λουκίου υἱός, πόλεως Πλακεντίας. Μάρκος Τάλπιος Οὐϊτᾶλις, Μάρκου υἱός, πόλεως Πλακεντίας. Μάρκος Ἀκείλιος, Μάρκου υἱός, πόλεως Βονωνίας. Μάρκος Νιρέλλιος, Γαΐου υἱός, πόλεως Πάρμης. Τίτος Οὐίβιος Θάλβιος, Σπορίου υἱός, πόλεως Πάρμης. Τίτος Αἰμίλιος, Κοΐντου υἱός, πόλεως Ῥηγίου. Τίτος Οὐετεράνιος, Ποπλίου υἱός, πόλεως Βονωνίας. Τίτος Νουμέριος, Τίτου υἱός, πόλεως Πλακεντίας. Τίτος Σερούϊος Σεκοῦνδος, Τίτου υἱός, πόλεως Βονωνίας. Τίτος Πετρώνιος, ⟨Σ⟩πορίου υἱός, πόλεως Πλακεντίας. Τίτος Ἀντώνιος, Μάρκου υἱός, πόλεως Ῥηγίου. Τίτος Σερούϊος Πωλλίων, Γαΐου υἱός, πόλεως Βονωνίας. Τίτος Καμόριος Τέρτιος, Τίτου υἱός, πόλεως Φειδεντίας. Τουρέλλη Φόρησις, Γαΐου ἀπελευθέρα, πόλεως Βονωνίας.

1. καισειλίας cod. corr. Bergk. | 3. Πολλισίας edit. | 4. νέβιος cod. corr. N. | 5. Δεκέννιος W. | 6. ἀριμήνου cod. | 8. σπουρίου cod. | 12. οὐϊταλις cod. | 14. ἀκκέλιος cod. ἀκίλιος Bergk. | 16. σοιρίου cod. corr. Westerm. | 17. Ῥηγίου W. ῥηγίας cod. | 20. σέκουνδος cod. | 22. ἀντώνιος cod. | 23. ἐρούσιος cod. — Πολλίων edit. | 25. τουρελλη cod. | 26. φορησις cod.

Κούϊντος Κάσσιος Ῥοῦφος, Κουΐντου υἱός, πόλεως Ῥηγίου. Κούϊντος Λουκρήτιος Πρῖμος, Κουΐντου υἱός, πόλεως Ῥηγίου. Κούϊντος Οὐέλιος, Ποπλίου υἱός, πόλεως Βελίας. Ἀντωνία Σεκούνδα, Ποπλίου θυγάτηρ, πόλεως Βελίας. Ἀλβατία Σαβίνα, πόλεως Πάρμης. Σαλουΐα Οὐάρηνα, Ποπλίου θυγάτηρ, πόλεως Βασιλείας. Βαιβία Μαρκέλλα, Σέξστου θυγάτηρ, πόλεως Ὀρτισίας. Βασκία Ἀστικόσου, Μακεδὼν ἀπὸ Φιλίππων. Βόνζης Τόνου, Παροικοπολίτης, Μακεδών. Φρόντων Ἀλβουτίου, Μακεδὼν ἀπὸ Φιλίππων. Σάρκη Σκίλα, Μακέτις, Ἀμφιπολῖτις. Αἰδέσιος Λίζα, Παροικοπόλεως, Μακεδών. Βίθυς Διζάστου, Παροικοπόλεως τῆς Μακεδόνων. Ζαικεδένθης Μουκάσου, Παροικοπολίτης, Μακεδών. Μάντις Καιπρίζου, Μακεδών, ἐξ Ἀμφιπόλεως. Ἀλέξανδρος Δημητρίου, Τιανὸς ἀπὸ Πόντου καὶ Βιθυνίας. Γάζα Τίμωνος, Τιανὴ ἀπὸ Πόντου καὶ Βιθυνίας. Χρήστη Ἀντιπάτρου, Τιανή. Χρυσίον Θεοφίλου, Τιανή. Ἱέρων Ἱέρωνος, Τιανός. Μούζακος Μουκαντίου, Νικομηδεὺς Βιθυνίας. Λούκιος Φιδικλάνιος Νέπως, Σινωπεύς. Ἀλούκιος Ἀπιλιούτας, ἀπὸ Λουσιτανίας πόλεως Ἰντερανιησίας. Ἄμβατος, Δοκουρίου υἱός, τῆς αὐτῆς πόλεως. Κάμαλος, Καντολγουνίου υἱός, τῆς αὐτῆς πόλεως. Κέλτιος, Πελλίου υἱός, πόλεως Ἀπειλοκαρίου. Ἀρρούντιος, Ἀππίου υἱός, πόλεως Κονιμβριγησίας. Τάμφιος, Κελτίου υἱός, πόλεως τῆς αὐτῆς. Δοκ-

2. λουκρίτιος cod. corr. Bergk. — Κοΐντου edit. | 5. σαβῖνα cod. | 6. πάργης cod. — οὐαρηνα cod. | 7. βεβία cod. | 9. βονζης cod. | 10. παροίκου πόλπης cod., corr. Meursius. | 11. σκιλα cod. | 13. παροικο//πόλεως cod. | 15. Καιπροίζου edit. | 19. χρυσίον] o in rasura, cod. | 21. ἀπιλιουτας cod.

κούριος, Ἁλουκκίου υἱός, πόλεως Αἰβουροβισυγγησίας.

II. Οἱ ἀπὸ ἑκατὸν [τεσσάρων] ἐτῶν μέχρι ἑκατὸν δέκα ἀπογραψάμενοι. Γάϊος † Δηλήδιος Πρῖμος, πόλεως Βονωνίας, ἔτη ἑκατὸν ἕν. Κλωδία Ποτέστα, Γαΐου ἀπελευθέρα, πόλεως Βονωνίας, ἔτη ἑκατὸν ἕν. Κουσωνία Μοσχάς, Γαΐου ἀπελευθέρα, πόλεως Κορνηλίας, ἔτη ἑκατὸν ἕν. Κερεωνία Οὐερηκούνδα, Ποπλίου ἀπελευθέρα, πόλεως Κορνηλίας, ἔτη ἑκατὸν ἕν. Λ⟨ι⟩ουῖα Ἀττική, Ποπλίου ἀπελευθέρα, πόλεως Πάρμης, ἔτη ἑκατὸν ἕν. Βουρία Λυχναινίς, πόλεως Πάρμης, ἔτη ἑκατὸν ἕν. Γάϊος Σάμφιος, Γαΐου υἱός, πόλεως Βελείας, ἔτη ἑκατὸν δύο. Κούϊντος Κορνήλιος, Κουΐντου υἱός, πόλεως Ῥηγίου, ἔτη ἑκατὸν δύο. Τίτος Ἀντώνιος, Τίτου υἱός, πόλεως Πάρμης, ἔτη ἑκατὸν δύο. Κοκνανία Μοῦσα, πόλεως Κορνηλίας, ἔτη ἑκατὸν τρία. Δημόκριτος Ἀβδηρίτης ἔτη ἑκατὸν τέσσαρα· ἐτελεύτησεν δὲ τροφῆς ἀποσχόμενος. Κτησίβιος ὁ ἱστοριογράφος ἔτη ἑκατὸν τέσσαρα· ἐν περιπάτῳ δὲ ἐτελεύτα, ὡς Ἀπολλόδωρος ἐν τοῖς χρονικοῖς δεδήλωκεν. Ἱερώνυμος ὁ συγγραφεὺς πολλοὺς μέν χρόνους ἐν ταῖς στρατείαις ἀναπλήσας, πλείστοις δὲ τραύμασιν ἐν πολέμοις περιπεσὼν ἐτελεύτησεν βιώσας ἔτη ἑκατὸν τέσσαρα, ὥς φησιν Ἀγαθαρχίδης ἐν τῇ ἐννάτῃ τῶν περὶ τῆς Ἀσίας ἱστοριῶν. Γάϊος Λαλλίας Τιωναῖος, Λουκίου υἱός, πόλεως Βονωνίας, ἔτη

1. αιβουροβισυγγησιας cod. | 3. in mg.: περὶ τῶν ἀπὸ ἑκατὸν καὶ τεσσάρων ζησάντων ἐτῶν μέχρι ἑκατὸν δέκα. | 7. κουσινία μοσχος cod. corr. Bergk. | 12. πάργης cod. | 22. ταῖσ τρατείαις cod. | 23. ἀνατλήσας cod. corr. Nauck. | 27. τιωναῖνοσ cod. — Βονωνίας coni. W. βιωνίας cod.

ἑκατὸν πέντε. Πόπλιος Κουϊσέντιος Ἐφυρίων, Ποπλίου ἀπελεύθερος, πόλεως Βονωνίας, ἔτη ἑκατὸν πέντε. Τίτος Κοττίνας Χρύσανθος, Τίτου ἀπελεύθερος, πόλεως Φαουεντίας, ἔτη ἑκατὸν πέντε. Μάρκος Πομ⟨π⟩ώνιος Σεβῆρος, Μάρκου υἱός, πόλεως Ταννητάνης, ἔτη ἑκατὸν πέντε. Σέξτος Ναίβιος, Σέξτου υἱός, πόλεως Πάρμης, ἔτη ἑκατὸν πέντε. Λούκιος Αἴλιος Δωρόθεος, Λουκίου ἀπελεύθερος, πόλεως Βονωνίας, ἔτη ἑκατὸν ἕξ. Γάϊος Πομπούσιος Μοντ[ι]ανός, Ποπλίου υἱός, ἔτη ἑκατὸν ἑπτά. Πόλλα Δωνάτα, Σέξτου θυγάτηρ, πόλεως Βονωνίας, ἔτη ἑκατὸν δέκα. Μουνα[ν]τία Προκούλα, Λουκίου θυγάτηρ, πόλεως Ῥηγίου, ἔτη ἑκατὸν δέκα.

III. Οἱ ἀπὸ τῶν ἑκατὸν δέκα ἐτῶν μέχρι ἑκατὸν εἴκοσι ἀπογραψάμενοι. Τίτος Πουρέννιος Τοῦτος, Λουκίου υἱός, πόλεως Κορνηλίας, ἔτη ἑκατὸν ἕνδεκα. Λούκιος Ἀντίστι[χ]ος Σωτήριχος, Λουκίου ἀπελεύθερος, πόλεως Ῥαβέννης, ἔτη ἑκατὸν δεκατρία. Λούκιος Πέτρου, πόλεως Κορνηλίας, ἔτη ἑκατὸν δεκατέσσαρα. Ἰουλία Μοδεστίνα, πόλεως Κορσιόλων, ... πριμοπιλαρίου ἀπελευθέρα, καθ' ἡμᾶς ἔτι οὖσα, πόλεως Βριξέλλων, ἔτη ἑκατὸν εἴκοσι.

IV. Οἱ ἀπὸ ρλ ἐτῶν μέχρι ρμ ἀπογραψάμενοι. Λούκιος Τερέ⟨ν⟩τιος πόλεως Βονωνίας, ἔτη ρλε. Φαῦστος, Καίσαρος δοῦλος, ἐκ Σαβίνων,

1. χουισεντιος εφυρίων cod. | 3. Χρύσαντος edit. | 6. νέβιος cod. — Σέξτος edit. | 7. Σέξτου edit. — παρμίας cod. | 11. Σέξτου edit. | 14. mg.: οἱ ἀπὸ ἑκατὸν δέκα ζήσαντες ἐτῶν μέχρι ἑκατὸν εἴκοσι (εἴκοσι cod.). — τῶν om. W. | 18. δέκα τρία edit. | 20. δέκα τέσσαρα edit. | 23. mg.: περὶ τῶν ἀπὸ ἑκατὸν τριάκοντα μέχρι ἑκατὸν τεσσαράκοντα ζησάντων ἐτῶν. | 24. μονωνίας cod. | 25. ρλς' editores, ρλε cod., item Plin. n. h. VII 49, 163: CXXXV (sc. annos edidit) Bononiae L. Terentius M. filius.

ἀπὸ Πραιτωρίου Παλλαντιανοῦ, ἔτη ρλς, ὃν καὶ αὐτὸς ἐθεασάμην Ἀδριανῷ τῷ Καίσαρι ἐπιδειχθέντα. Ἀργανθώνιος, ὁ τῶν Ταρτησίων βασιλεύς, ὡς ἱστορεῖ Ἡρόδοτος (I 163) καὶ Ἀνακρέων ὁ ποιητής, ἔτη ρν. Σίβυλλα ἡ Ἐρυθραία ἐβίωσεν ἔτη ὀλίγον ἀποδέοντα τῶν χιλίων, ὡς αὐτή φησιν ἐν τοῖς χρησμοῖς τόνδε τὸν τρόπον·

ἀλλὰ τί δὴ πανόδυρτος ἐπ' ἀλλοτρίοισι πάθεσσιν
θέσφατα φοιβάζω, λυσσώδεα μοῖραν ἔχουσα,
οἴστρου δὲ σφετέρου καταγεύομαι ἀλγινόεντος;
ἐν δεκάτῃ γενεᾷ χαλεπὸν κατὰ γῆρας ἔχουσα,
μαινομένη μὲν ἐνὶ θνητοῖς καὶ ἄπιστα λέγουσα,
πάντα δ' ὕπαρ προϊδοῦσα βροτῶν δυσανάσχετα κήδη.
καὶ τότε μοι φθονέσας Λητοῦς ἐρικυδέος υἱὸς
μαντοσύνης, παθέων δὲ καταπλήσας ὀλοὸν κῆρ,
ψυχὴν ἐκλύσει δεσμευομένην ἐνὶ λιγρῷ
σώματι, σαρκοτυπεῖ διοϊστεύσας δέμας ἰῷ.
ἔνθ' ἄρα μοι ψυχὴ μὲν ἐς ἠέρα πωτηθεῖσα,
πνεύματι συγκραθεῖσα βροτῶν εἰς οὔατα πέμψει
κληδόνας ἐν πυκινοῖς αἰνίγμασι συμπλεχθείσας·
σῶμα δ' ἀεικελίως ἄταφον πρὸς μητέρος αἴης
κείσεται· οὐ γάρ τις θνητῶν ἐπὶ γαῖαν ἀμήσει,
οὐδὲ τάφῳ κρύψει· κατὰ γὰρ χθονὸς εὐρυοδείης
δύσεται αἷμα μέλαν τερσαινομένοιο χρόνοιο.
ἔνθεν δὴ πολλῆς ἀναφύσεται ἔρνεα ποίης,

3. *Ταρτησσίων* edit. | 8. *πάθεσσι* edit. | 9. *φοιβάζων* cod. | 11. *ἐκνεαομεν ἀεὶ* cod. *ἐκ νεαρῶν μὲν ἀεὶ* X. *ἐν δεκάτῃ γενεᾷ* Salmasius. | 13. *ὑπερ* cod. corr. Meineke. | 16. *κατοικήσας* cod. corr. E. | 18. *σαρκοτύπιδι . . . γεγαῖον* cod. corr. M. | 19. *πιστηθεῖσα* cod. *πιστευθεῖσα* W. corr. N. | 26. *πολλῆς*, *λλ* in ras., cod. — *ἀναδύσεται* cod. corr. M. — *ερνεα* cod.

ἢ καταβοσκομένων μήλων εἰς ἤπατα δῦσα
ἀθανάτων δείξει βουλεύματα μαντοσύνησι.
σαρκῶν δ' ὄρνιθες πτεροείμονες αἴκε πάσωνται,
μαντοσύνην θνητοῖσιν ἀληθέα ποιπνύ⟨σ⟩ουσι.

διὰ τούτου τοῦ χρησμοῦ ἀποδείκνυται δέκα γενεὰς αὐτὴν κατ' ἀνθρώπους γεγονέναι, καὶ μετὰ τὴν ἀναχώρησιν τὴν ἐκ τοῦ ζῆν, τῆς μὲν ψυχῆς κατὰ τὸν ἀέρα φερομένης καὶ προσπιπτούσης τοῖς ὑπὸ τῶν ἀνθρώπων λαλουμένοις, παρασκευάσειν τὰς γινομένας κληδόνας διὰ τῶν λόγων, τοῦ δὲ σώματος ἀτάφου γενομένου τὰ μὲν ὄρνεα τῶν σαρκῶν φαγόντα τὴν διὰ τῆς ὀρνιθοσκοπίας μαντείαν διασημανεῖν, τοῦ δ' ὑπολοίπου μέρους εἰς τὴν γῆν σαπέντος, καὶ τὰ κτήνη φαγόντα τῆς ἐκ τῆς γῆς φυομένης πόας τὴν ἡπατοσκοπικὴν εἰς τὸν βίον εἰσάξειν τέχνην. τὴν δὲ γενεὰν Σίβυλλα ἱστορεῖ ἐτῶν ἑκατὸν δέκα ἐν τῷ χρησμῷ τῷ πρὸς Ῥωμαίους περὶ τῶν αἰωνίων θε⟨ωρι⟩ῶν, ἃ Ῥωμαῖοι σεκουλάρια καλοῦσι. τῶν γὰρ συμμάχων αὐτῶν καὶ κοινωνῶν μὴ ἐμμενόντων ταῖς συνθήκαις, ἀλλὰ πυκνὰ μεταβαλλομένων καὶ πολεμούντων αὐτοῖς, ἡ Σίβυλλα ἐχρησμῴδησεν, ἐπιτελεσθεισῶν τῶν θεωριῶν τούτων ὑποταγήσεσθαι τοὺς ἀφεστῶτας Λατίνους. εἰσὶν δὲ οἱ χρησμοὶ οἵδε·

ἀλλ' ὁπότ' ἂν μήκιστος ἴῃ χρόνος ἀνθρώποισιν
ζωῆς, εἰς ἐτέων ἑκατὸν δέκα κύκλον ὁδεύσας,

3. *πτετροείμονες* cod., corr. Bast. | 4. *ποιπνύουσι*·// cod. | 8. 9. *τοὺς . . . λαλουμένους* cod., corr. W. | 12. *διασημαίνειν* cod. corr. Meineke. | 18. *θεωριῶν*] *θεῶν* cod., corr. W. | 24. hoc oraculum exhibet etiam Zosimus hist. II. 6. | 25. *ἴκῃ* cod. corr. Salmas. | 26. *ὁδεύων* Zos.

μεμνῆσθαι, Ῥωμαῖε, καὶ εἰ μάλα λήσει ἑαυτοῦ, μεμνῆσθαι τάδε πάντα, θεοῖσι μὲν ἀθανάτοισιν ῥέξειν ἐν πεδίῳ παρὰ Θύβριδος ἄπλετον ὕδωρ, ὅππῃ στεινότατον, νὺξ ἡνίκα γαῖαν ἐπέλθῃ ἠελίου κρύψαντος ἐὸν φάος· ἔνθα σὺ ῥέξειν ἱερὰ παντογόνοις Μοίραις ἄρνας τε καὶ αἶγας, κυανέας δ' ἐπὶ ταῖσδ' Εἰλειθυίας ἀρέσασθαι παιδοτόκους θυέεσσιν, ὅππῃ θέμις. αὖθι δὲ Γαίῃ πληθομένῃ χοῖρός τε καὶ ὗς ἱεροῖτο μέλαινα. πάνλευκοι ταῦροι δὲ Διὸς παρὰ βωμὸν ἀγέσθων ἤματι, μηδέ τε νυκτί· θεοῖσι γὰρ οὐρανίδαισιν ἡμέριος πέλεται θυέων τρόπος, ὣς δὲ καὶ αὐτοῖς ἱρεύειν. δαμάλης δὲ βοὺς δέμας ἀγλαὸν Ἥρης δεξάσθω νηὸς παρὰ σεῦ. καὶ Φοῖβος Ἀπόλλων, ὅστε καὶ ἠέλιος κικλήσκεται, ἶσα δεδέχθω θύματα Λητοΐδης, καὶ ἀειδόμενοί τε Λατῖνοι παιᾶνες κούροις κούρῃσί τε νηὸν ἔχοιεν ἀθανάτων. χωρὶς δὲ κόραι χορὸν αὖται ἔχοιεν, καὶ χωρὶς παίδων ἄρσην στάχυς, ἀλλὰ γονήων πάντες ζωόντων, τοῖς ἀμφιθαλὴς ἔτι φύτλη. αἳ δὲ γάμου ζεύγλαισι δεδμημέναι ἤματι κείνῳ γνυξ Ἥρης παρὰ βωμὸν ἀοίδιμον ἑδριόωσαι

1. οὐ μάλα λήσει ἑαυτούς Zos., οὐ μάλα λήσεαι αὐτός coni. Mitscherlich οὐ μάλα λήσεαι αὐτῶν Bekker. | 3. ῥέξειν Zos. | 6. ποντογόνοις Zos. | 7. δ' om. Zos., αἶγας κυανέας, ἐπὶ ταῖς δ' Mitscherlich. | 9. χώροις, ὅῖς ἱερεύοιτο cod., recte Zosimus. | 10. ξάλευκοι Zos. | 11. μηδ' ἐπὶ ν. et οὐρανίοισι Zos. — γαρ cod. | 12. αὐτοῖς cod. αὖτως Zos. | 13. ἱερεύειν cod. — δάμαλις cod., corr. Mitscherlich. | 15. αἶσια δέχθω cod. ἶσα δεδέχθω Zosim. | 16. καὶ om. Zosim. | 17. κουραισί Zos. | 18. αὗται Zos. αὐταὶ ἄγοιεν Heyne. | 20. πάντων cod., corr. Nauck — τοῖς cod. οἷς Bast. — ἀμφιθαλής ἐστι cod. | 21. ζεύγλαις Zos. — ἤματι cod. | 22. γνῦξ cod.

δαίμονα λισσέσθωσαν, ἅπασι θελήματα δοῦναι
ἀνδράσιν ἠδὲ γυναιξί, μάλιστα δὲ θηλυτέρῃσι.
πάντες δ' ἐξ οἴκοιο φερέσθων ὅσσα κομίζειν
ἐστὶ θέμις θνητοῖσιν ἀπαρχομένοις βιότοιο,
δαίμοσι μειλιχίοισιν ἱλάσματα καὶ μακάρεσσιν
οὐρανίοις. τὰ δὲ πάντα τεθησαυρισμένα κείσθω,
ὅφρα τε θηλυτέρῃσι καὶ ἀνδράσιν ἑδριόωσιν
ἔνθεν πορσύνῃς μεμνημένος. ἤμασι δ' ἔστω
νυξί τ' ἐπασσυτέρῃσι θεοπροπίους κατὰ θώκους
παμπλήθης ἄγυρις, σπουδὴ δὲ γέλωτι μεμίχθω.
ταῦτά τοι ἐν φρεσὶ σῇσιν ἀεὶ μεμνημένος εἶναι,
καί σοι πᾶσα χθὼν Ἰταλὴ καὶ πᾶσα Λατίνων
αἰὲν ὑπὸ σκήπτροισιν ὑπαυχένιον ζυγὸν ἕξει.

V. *Καὶ ἐπανελθὼν* (sc. Epimenides) *ἐπ' οἶκον μετ' οὐ πολὺ μετήλλαξεν, ὥς φησι Φλέγων ἐν τῷ περὶ μακροβίων, βιοὺς ἔτη ἑπτὰ καὶ πεντήκοντα καὶ ἑκατόν, ὡς δὲ Κρῆτες λέγουσιν, ἑνὸς δέοντος τριακόσια, ὡς δὲ Ξενοφάνης ὁ Κολοφώνιος ἀκηκοέναι φησί, τέτταρα πρὸς τοῖς πεντήκοντα καὶ ἑκατόν.* Diogenes Laert. I 10, 111.

1. *δὲ λύματα* cod. *θελήματα* Sylburg prob. Bastio. | 2. *γυναιξὶν* cod. — *θηλυτέρῃσι* Zos. *θηλυτέραισι* cod. | 6. *Οὐρανίδαις* Zos. — *τάδε* cod. — *κείσθω* Zos., *κεῖσθαι* cod. | 7. *ὅφρα* cod. — *θηλυτέρῃσι* Zos. *λῆιθυμέλησι* cod. (=*τελῇ θυμέλῃσι*). | 8. *πορσύνης* cod. — *ἤμασι* cod. | 9. *ἐπασσυτέρῃσι* Zos. *ἐπασσυτέραισι* cod. — *θεοπρέπτους* Zos. | 10. *παμπληθὴς* edit. — *γέλως τε* Sylburg. | 11. *φρεσὶν ἧσιν* Zos. | 12. *Λατίνη* Zos.

ΦΛΕΓΟΝΤΟΣ

ΚΑΙΣΑΡΟΣ ΑΔΡΙΑΝΟΥ ΑΠΕΛΕΥΘΕΡΟΥ ΟΛΥΜΠΙΑΔΕΣ Η ΧΡΟΝΙΚΑ.

Ἀνεγνώσθη Φλέγοντος Τραλλιανοῦ, ἀπελευθέρου τοῦ αὐτοκράτορος Ἀδριανοῦ, ὀλυμπιονικῶν καὶ χρονικῶν συναγωγή. προσφωνεῖ τὸ σύνταγμα πρὸς Ἀλκιβιάδην τινά, ὃς εἷς ἦν τῶν εἰς τὴν φυλακὴν τεταγμένων τοῦ Ἀδριανοῦ. ἄρχεται δὲ τῆς συναγωγῆς ἀπὸ τῆς πρώτης Ὀλυμπιάδος, διότι τὰ πρότερα, καθὼς καὶ οἱ ἄλλοι σχεδόν τι πάντες φασίν, οὐκ ἔτυχεν ὑπό τινος ἀκριβοῦς καὶ ἀληθοῦς ἀναγραφῆς, ἀλλὰ ἄλλο τι ἄλλος τῶν ἐπιτυχόντων καὶ οὐ συμφώνως ἔγραψαν, ὅσοις καὶ γράψαι πεφιλοτίμηται. τὴν μὲν οὖν ἀρχὴν τοῦ συγγράμματος, ὥσπερ ἔφημεν, ἀπὸ τῆς πρώτης Ὀλυμπιάδος ποιεῖται, κάτεισι δέ, ὡς αὐτός φησι, μέχρι τῶν Ἀδριανοῦ χρόνων. ἐμοὶ δὲ ἀνεγνώσθη μέχρι τῆς ροζ Ὀλυμπιάδος . . . ἔστι δὲ τὴν φράσιν οὔτε λίαν καμαιπετὴς οὔτε τὸν Ἀττικὸν ἐς τὸ ἀκριβὲς διασώζων χαρακτῆρα. ἄλλως τε δὲ καὶ ἡ περὶ τὰς Ὀλυμπιάδας καὶ τὰ ἐν αὐταῖς τῶν ἀγωνισμάτων ὀνόματα καὶ πράξεις καὶ ἡ περὶ τοὺς χρησμοὺς ἄκαιρος φιλοπονία τε καὶ φιλοτιμία, εἰς κόρον ἀπάγουσα τὸν

1. φλέγοντοσ ※ ἀπελευθέρϑ † ἀδριανοῦ ※ καίσαροσ περὶ τῶν ὀλυμπίων cod.

ἀκροατὴν καὶ μηδὲν ἄλλο τῶν ἐν τῷ λόγῳ προκύπτειν συγχωροῦσα, ἀηδῆ τε τὸν λόγον δεικνύει καὶ χάριτος οὐδὲν ἔχειν παρατίθησι. χρησμοῖς δὲ παντοίοις ἐς ὑπερβολήν ἐστι κεχρημένος. Photius bibl. cod. 97.

Ex libro primo.

I. Δοκεῖ μοι χρῆναι εἰπεῖν τὴν αἰτίαν, δι' ἣν τὰ Ὀλύμπια τεθῆναι συμβέβηκεν. ἔστιν δὲ ἥδε. μετὰ Πεῖσον καὶ Πέλοπα, ἔτι δὲ Ἡρακλέα, τοὺς πρώτους τὴν πανήγυριν καὶ τὸν ἀγῶνα τὸν Ὀλυμπίασιν ἐνστησαμένους, ἐκλιπόντων τῶν Πελοποννησίων τὴν θρησκείαν χρόνῳ τινί, εἰς ὃν ἀπὸ Ἰφίτου Ὀλυμπιάδες ὀκτὼ πρὸς ταῖς εἴκοσι καταριθμοῦνται εἰς Κόροιβον τὸν Ἠλεῖον, καὶ ἀμελησάντων τοῦ ἀγῶνος, στάσις ἐνέστη κατὰ τὴν Πελοπόννησον. Λυκοῦργος δὲ ὁ Λακεδαιμόνιος, υἱὸς ὢν τοῦ Πρυτάνεως, τοῦ Εὐρυπῶντος, τοῦ Σόου, τοῦ Προκλέους, τοῦ Ἀριστοδήμου, τοῦ Ἀριστομάχου, τοῦ Κλεοδαίου, τοῦ Ὕλλου, τοῦ Ἡρακλέους καὶ Δηιανείρας, καὶ Ἶφιτος ὁ Αἵμονος, ὡς δὲ ἔνιοι Πραξωνίδου, ἑνὸς τῶν ἀπὸ Ἡρακλέους, Ἠλεῖος, καὶ Κλεοσθένης ὁ Κλεονίκου Πεισάτης, βουλόμενοι εἰς ὁμόνοιαν καὶ εἰρήνην τὸ πλῆθος αὖθις ἀποκαταστῆσαι, τήν τε πανήγυριν τὴν Ὀλυμπικὴν ἔγνωσαν ἀνάγειν εἰς τὰ ἀρχαῖα νόμιμα καὶ ἀγῶνα γυμνικὸν ἐπιτελέσαι. στέλλονται δὴ εἰς Δελφοὺς χρησόμενοι τῷ θεῷ, εἴ σφισιν συνεπαινεῖ ταῦτα ποιῆσαι. ὁ δὲ θεὸς ἄμεινον ἔφη ἔσεσθαι ποιοῦσιν. καὶ

11. ἐκλειπόντων cod. corr. N. | 17. Πρυτανέως W. — εὐρόπον cod., corr. Meursius. — σώσον cod., corr. Meursius. | 18. προκλέως cod. | 19. κλαιοδαίου cod.

προσέταξεν ἐκεχειρίαν ἀγγεῖλαι ταῖς πόλεσιν ταῖς βουλομέναις μετέχειν τοῦ ἀγῶνος. ὧν περιαγγελθέντων κατὰ τὴν Ἑλλάδα καὶ ὁ δίσκος ἐγράφη τοῖς Ἑλλανοδίκαις, καθ' ὃν ἔδει τὰ Ὀλύμπια ἄγειν. οὐκ ἄγαν δὲ προσιεμένων τὸν ἀγῶνα, ἀλλὰ δυσχεραινόντων τῶν Πελοποννησίων, λοιμὸς ἐπιγενόμενος καὶ φθορὰ καρπῶν ἐλυμαίνετο αὐτούς. οἱ δὲ ἀποστ⟨είλ⟩αντες πάλιν τοὺς περὶ τὸν Λυκοῦργον ἠτοῦντο τοῦ λοιμοῦ παῦλαν καὶ ἴασίν τινα. ἡ δὲ Πυθία χρᾷ τάδε·

ὦ γῆς ἀκρόπολιν πάσης Πελοπηΐδα κλεινὴν
ναίοντες, πρέσβεις τε βροτῶν πάντων καὶ ἄριστοι,
φράζεσθ' ἐξ ἐμέθεν χρησμὸν θεοῦ, ὅττι κεν εἴπω.
Ζεὺς ὑμῖν μῆνιν τελετῆς ἔχει ἣν διέχρησεν,
οὕνεκ' ἀτιμάζονται Ὀλύμπια πασιάνακτος
Ζηνὸς — τοῦ πρῶτος μὲν ἱδρύσατο καὶ θέτο τιμὴν
Πεῖσος, καὶ μετὰ τόνδε Πέλοψ, ὅτε δῆμον ἔναιεν
Ἑλλάδα, θῆκε δ' ἔπειτ' ἔροτιν καὶ ἔπαθλα θανόντι
Οἰνομάῳ, τρίτατος δ' ἐπὶ τοῖς πάϊς Ἀμφιτρύωνος
Ἡρακλέης ἐτέλεσσ' ἔροτιν καὶ ἀγῶν' ἐπὶ μήτρῳ
Ταντα λίδῃ Πέλοπι φθιμένῳ — τὸν δήποθεν ὑμεῖς
λείπετε καὶ τελετήν. ἧς χωσάμενος κατὰ θυμὸν
ὦρσε κακὴν λιμὸν παρὰ τοῖς καὶ λοιμόν, ὃν ἔστι
παῦσαι ἀνορθώσαντας ἑορτὴν τῷ πάλιν αὖθις.

6. τῶντε cod. | 13. ἠμῖν cod. τελ. μ. cod. corr. N. | 14. ἀτιμάζοντες cod. corr. Krause. — λασιάνακτος (αλ supra λα) cod. πασινάνακτος W. | 16. δημονναιαν cod., corr. Müll., idem coni. δὴ μόλεν αἶαν = δὴ μόλ' ἐς αἶαν. | 17. ἔπειτα εροτιν cod. — ἑροτὴν Toup. | 19. παΐς Nauck παῖς cod. | 20. ἐτέλεσσεν εροτιν cod. — ἀγῶνα cod. | 21. πέλοπι ταντα λίδῃ cod. ὑμεῖς λείπετε Soping. ὑμειν λείπεις cod. | 23. κακὴν cod. recte, κακὸν Westerm. et Müll. — ἐς πάλιν N.

ταῦτα ἀκούσαντες ἀπήγγειλαν τοῖς Πελοποννησίοις, οἱ δὲ ἀπιστήσαντες τῷ χρησμῷ ἀπέστειλαν πάλιν καὶ αὐτοὶ ἀπὸ κοινοῦ δόγματος ἐπιστρεφέστερον ἐπερωτήσοντας τὸν θεὸν περὶ τῶν χρησθέντων. ἡ δὲ Πυθία λέγει τάδε·

ὦ Πελοποννήσου ναέται, περὶ βωμὸν ἰόντες
θύετε καὶ πείθεσθε τά κεν μάντεις ἐνέπωσιν.

τούτων χρησθέντων οἱ Πελοποννήσιοι ἐπέτρεψαν τοῖς Ἠλείοις ἀγῶνα τιθέναι τῶν Ὀλυμπίων καὶ ἐκεχειρίαν ἀγγέλλειν ταῖς πόλεσιν. καὶ Ἠλεῖοι δὲ μετὰ ταῦτα βουλόμενοι βοηθεῖν Λακεδαιμονίοις, ὅτε Ἦλος ἐπολιόρκουν, πέμψαντες εἰς Δελφοὺς ἐμαντεύοντο. καὶ χρᾷ ἡ Πυθία τάδε·

Ἠλείων πρόπολοι, πατέρων νόμον ἰθύνοντες,
τὴν αὐτῶν ῥύεσθε πάτραν, πολέμου δ' ἀπέχεσθε,
κοινοδίκου φιλίης ἡγούμενοι Ἑλλήνεσσιν,
εὖτ' ἂν πενταέτης ἔλθῃ φιλόφρων ἐνιαυτός.

χρησθέντων δὲ τούτων τοῦ μὲν πολεμεῖν ἀπέσχοντο, τῶν δὲ Ὀλυμπίων τὴν ἐπιμέλειαν ἐποιοῦντο. καὶ ἐστέφετο μὲν οὐδεὶς ἐπὶ πέντε Ὀλυμπιάδας, τῇ δὲ ἕκτῃ ἔδοξεν αὐτοῖς μαντεύσασθαι, εἰ στέμματα περιθῶσι τοῖς νικῶσι, καὶ πέμπουσι τὸν βασιλέα Ἶφιτον εἰς θεοῦ. ὁ δὲ θεὸς ἔφη τάδε·

Ἶφιτε, μήλειον καρπὸν μὴ θῇς ἐπὶ νίκῃ,
ἀλλὰ τὸν ἄγριον ἀμφιτίθει καρπώδη ἔλαιον,
ὃς νῦν ἀμφέχεται λεπτοῖσι πέπλοισιν ἀράχνης.

4. ἐπερωτήσαντας cod. | v. 14 in cod. post v. 7 positum huc transpon. N. conl. Crameri anecd. Par. II p. 141. | 15. ἐπέχεσθε Eusebii cod. | 16. φιλίας cod. Eusebius. | 17. πενταέτης cod. ἐνὶ ξυνόδοις mg. et Euseb. — φιλόφρων, ων in ras., cod. | 18. ἀνέσχοντο cod., corr. W. | 25. ἐλαιῶν cod. corr. N. | 26. λεπτοῖσιν ὑφάσμασιν cod. corr. nos.

παραγενόμενος οὖν εἰς τὴν Ὀλυμπίαν, πολλῶν ἐν τῷ τεμένει κοτίνων ὄντων, εὑρὼν ἕνα περιεχόμενον ἀραχνίοις περιῳκοδόμησεν αὐτόν, καὶ τοῖς νικῶσιν ἐκ τούτου ἐδόθη ὁ στέφανος. πρῶτος δ' ἐστεφανώθη Λαΐκλῆς Μεσσήνιος, ⟨ὃς⟩ τῇ ἑβδόμῃ Ὀλυμπιάδι στάδιον ἐνίκα.

II. Γέργις πόλις Τροίας ... Γεργιθία ἡ χρησμολόγος Σίβυλλα, ἥτις καὶ ἐτετύπωτο ἐν τῷ νομίσματι τῶν Γεργιθίων αὐτή τε καὶ σφίγξ, ὡς Φλέγων ἐν Ὀλυμπιάδων ᾱ. Steph. Byz. s. v. Γέργις.

III. Διὸς ἱερὸν πολίχνιον Ἰωνίας, μεταξὺ Λεβέδου καὶ Κολοφῶνος. τὸ ἐθνικὸν Διοσιερίτης, ὡς Φλέγων ἐν ᾱ Ὀλυμπιάδων. Steph. Byz. s. h. v.

IV. Φλέγων ἐν Ὀλυμπιάδι β̄· Ἀντίμαχος Ἠλεῖος ἐκ Δυσποντίου στάδιον. Steph. Byz. s. v. Δυσπόντιον.

Ex libris incertis.

V. Ὑπερασία πόλις ⟨Ἀχαΐας⟩, ἧς τὸ ἐθνικὸν Ὑπερασιεύς. Φλέγων κ̄ϝ̄ Ὀλυμπιάδι. Steph. Byz. s. v. Ὑπερασία.

VI. Φλέγων ... ἐν κ̄ξ̄· Δάϊππος Κροτωνιάτης πύξ, ... Ἠλεῖος ἐκ Δυσποντίου τέθριππον. Steph. Byz. s. v. Δυσπόντιον.

VII. Σινώπη πόλις διαφανεστάτη τοῦ Πόντου, κτίσμα Κρητίνου Κῴου, ὥς φησι Φλέγων. Steph Byz. s. h. v.

VIII. Λῆνος χώρα τῶν Πισατῶν· ὁ πολίτης Ληναῖος. Φλέγων μ̄η̄ Ὀλυμπιάδι. Steph. Byz. s. h. v.

IX. Κῦρος Περσῶν ἐβασίλευεν, ᾧ ἔτει Ὀλυμ-

22. ἠλείων codd., corr. Westerm.; ante Ἠλεῖος excidit nomen quoddam.

πιὰς ἤχθη $\overline{νε}$, ὡς ἐκ τῶν βιβλιοθηκῶν Διοδώρου καὶ τῶν Θάλλου καὶ Κάστορος ἱστοριῶν, ἔτι δὲ Πολυβίου καὶ Φλέγοντός ἐστιν εὑρεῖν, ἀλλὰ καὶ ἑτέρων οἷς ἐμέλησεν Ὀλυμπιάδων. Africanus apud Euseb. p. e. X 10 p. 488 C.

Ex libro octavo.

X. Αὔγουσται πόλ⟨ε⟩ις ἐν Κιλικίᾳ καὶ Ἰταλίᾳ· οἱ πολῖται Αὐγουστανοί. Φλέγων ἐν Ὀλυμπιάδων $\overline{η}$. Steph. Byz. s. h. v.

XI. Κρέμη πόλις Πόντου. Φλέγων ὀγδόῳ χρονικῶν. Steph. Byz. s. h. v.

Ex libris incertis.

XII. Νίβις πόλις Αἰγύπτου. Φλέγων $\overline{ρμ}$ Ὀλυμπιάδι. Steph. Byz. s. h. v.

XIII. Βέλιτρα, πόλις Ἰταλίας, αὐ Ῥώμης ἀπωτέρω, ὥς φησι Φλέγων Ὀλυμπιάδι $\overline{ροδ}$. Steph. Byz. s. h. v.

XIV. Ἐμοὶ δὲ ἀνεγνώσθη μέχρι τῆς $\overline{ροξ}$ Ὀλυμπιάδος, ἐν ᾗ ἐνίκα Ἑκατόμνως Μιλήσιος στάδιον καὶ δίαυλον καὶ ὁπλίτην, τρίς, Ὑψικλῆς Σικυώνιος δόλιχον, Γάϊος Ῥωμαῖος δόλιχον, Ἀριστωνυμίδας Κῷος πένταθλον, Ἰσίδωρος Ἀλεξανδρεὺς πάλην, ἄπτωτος περίοδον, Ἀτυάνας Ἱππυκράτους Ἀδραμυτίου παῖς πύξ, Σφοδρίας Σικυώνιος παγκράτιον, Σωσιγένης Ἀσιανὸς παίδων στάδιον, Ἀπολλοφάνης Κυπαρισσιεὺς παίδων πάλην, Σωτήριχος Ἠλεῖος παίδων πύξ, Κάλας Ἠλεῖος παίδων παγκράτιον,

13. Νίσιβις Westerm. et Müll.

Ἑκατόμνως Μιλήσιος ὁπλίτην (οὗτος ἐν τῇ αὐτῇ τὰ τρία ἐστεφανώθη, στάδιον, δίαυλον, ὁπλίτην), Ἀριστόλοχος ὁ Ἠλεῖος τέθριππον, Ἀγήμονος Ἠλείου κέλης, Ἑλλανίκου Ἠλείου συνωρίς, τοῦ αὐτοῦ πωλικὸν τέθριππον, Κλητία Ἠλείου πωλικὴ συνωρίς, Καλλίππου Ἠλείου πωλικὸς κέλης.

Λεύκολλος δὲ Ἀμισὸν ἐπολιόρκει, καὶ Μουρήναν ἐπὶ τῆς πολιορκίας καταλιπὼν μετὰ δυοῖν ταγμάτοιν αὐτὸς μετὰ τριῶν ἄλλων προῆγεν ἐπὶ Καβείρων, ὅπου διεχείμαζε. καὶ Ἀδριανὸν ἐπέταξε πολεμῆσαι Μιθριδάτῃ· καὶ πολεμήσας ἐνίκησε. καὶ σεισμοῦ ἐν Ῥώμῃ γενομένου πολλὰ ταύτης συνέπεσε. καὶ ἄλλα δὲ πλεῖστα ἐν ταύτῃ ξυνηνέχθη τῇ Ὀλυμπιάδι. καὶ Ῥωμαίων τῷ τρίτῳ αὐτῆς ἔτει ἀπετιμήθησαν μυριάδες ἐνενήκοντα καὶ μία. καὶ Σινατρούκην τὸν Πάρθων βασιλέα τελευτήσαντα διεδέξατο Φραάτης ὁ ἐπικληθεὶς Θεός. καὶ Φαῖδρον τὸν Ἐπικούρειον διεδέξατο Πάτρων. καὶ Οὐεργίλιος Μάρων ὁ ποιητὴς ἐγεννήθη τούτου τοῦ ἔτους εἰδοῖς Ὀκτωβρίαις. τῷ δὲ τετάρτῳ ἔτει Τιγράνης καὶ Μιθριδάτης ἀθροίσαντες πεζοὺς μὲν τέσσαρας μυριάδας, ἱππέας δὲ τρεῖς, καὶ τὸν Ἰταλικὸν αὐτοὺς τάξαντες τρόπον, ἐπολέμησαν Λευκόλλῳ· καὶ νικᾷ Λεύκολλος, καὶ πεντακισχίλιοι μὲν τῶν μετὰ Τιγράνους ἔπεσον, πλείους δὲ τούτων ᾐχμαλωτίσθησαν χωρὶς τοῦ ἄλλου σύγκλυδος ὄχλου. καὶ τὸ Καπετώλιον ἐν Ῥώμῃ Κάτλος καθιέρωσε. καὶ Μέτελλος ἐπὶ τὸν Κρητικὸν πόλεμον ὁρμήσας τρία τάγματα ἔχων ἦλθεν εἰς τὴν νῆσον καὶ μάχῃ νικήσας τὸν Λασθένη αὐτοκράτωρ ἀνηγορεύθη, καὶ τειχήρεις κατέστησε τοὺς Κρῆτας. καὶ Ἀθηνόδωρος πειρατὴς ἐξανδρα-

ποδισάμενος Δηλίους τὰ τῶν λεγομένων θεῶν ξόανα διελυμήνατο· Γάϊος δὲ Τριάριος τὰ λελωβημένα τῆς πόλεως ἐπισκευάσας ἐτείχισε τὴν Δῆλον. Photius bibl. cod. 97.

XV. Φλέγων Ὀλυμπιάδι $\overline{ρπα}$ ὅτι παιδίον ἐκ δούλης γενόμενον τῇ ἑνάτῃ καὶ τεσσαρακοστῇ τῆς γενέσεως τὸν προσαγορεύσαντα ἀντιπροσαγορεῦσαι, ἐφ' οἷς τοὺς μάντεις προαγορεῦσαι ὄλεθρον. Steph. Byz. s. v. Ταρραχίνη.

Ex libro decimo tertio.

XVI. Φλέγων μέντοι ἐν τρισκαιδεκάτῳ ἢ τεσσαρεσκαιδεκάτῳ οἶμαι τῶν χρονικῶν καὶ τὴν περί τινων μελλόντων πρόγνωσιν ἔδωκε τῷ Χριστῷ. Origen. c. Cels. II, 14.

XVII. Ἰησοῦς ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ, ὁ κύριος ἡμῶν, κατὰ τὰς περὶ αὐτοῦ προφητείας ἐπὶ τὸ πάθος προήει ἔτους $\overline{ιθ}$ τῆς Τιβερίου βασιλείας. καθ' ὃν καιρὸν καὶ ἐν ἄλλοις μὲν Ἑλληνικοῖς ὑπομνήμασιν εὕρομεν ἱστορούμενα κατὰ λέξιν ταῦτα· „ὁ ἥλιος ἐξέλιπε· Βιθυνία ἐσείσθη· Νικαίας τὰ πολλὰ ἔπεσεν·“ ἃ καὶ συνάδει τοῖς περὶ τὸ πάθος τοῦ Σωτῆρος ἡμῶν συμβεβηκόσι. γράφει δὲ καὶ Φλέγων ὁ τὰς Ὀλυμπιάδας (sc. συναγαγὼν) περὶ τῶν αὐτῶν ἐν τῷ τρισκαιδεκάτῳ ῥήμασιν αὐτοῖς τάδε· τῷ $\overline{δ}$ ἔτει τῆς $\overline{σβ}$ Ὀλυμπιάδος ἐγένετο ἔκλειψις ἡλίου μεγίστη τῶν ἐγνωρισμένων πρότερον, καὶ νὺξ ὥρας ἕκτης τῆς ἡμέρας ἐγένετο, ὥστε καὶ ἀστέρας ἐν οὐρανῷ φανῆναι· σεισμός τε μέγας κατὰ Βιθυνίαν γενόμενος τὰ πολλὰ Νικαίας κατεστρέψατο. Syncellus p. 324 D. ex Euseb. chron. II p. 148 Sch.

Ex libro decimo quinto.

XVIII. *Νεοκαισάρεια Ποντικὴ πόλις. τὸ ἐθνικὸν Νεοκαισαρεύς, ὡς Φλέγων ιε̄ Ὀλυμπιάδων.* Steph. Byz. s. h. v.

XIX. *Σκορδίσκοι καὶ Σκίρτιοι ἔθνη Παιονίας, ὡς Φλέγων ἐν Ὀλυμπιάδων ιε̄.* Steph. Byz. s. h. v.

XX. *Τερβητία πόλις Σικελίας. οἱ πολῖται Τερβητῖνοι, ὡς Πλακεντῖνοι ἀπὸ Πλακεντίας. Φλέγων ἐν Ὀλυμπιάδων ιε̄.* Steph. Byz. s. h. v.

XXI. *Φουρνίτα πόλις Λιβύης. οἱ οἰκήτορες Φουρνιτανοί. Φλέγων ιε̄ τῶν Ὀλυμπιάδων.* Steph. Byz. s. h. v.

XXII. *Μαρτυρεῖ δὲ καὶ Φλέγων ἐν Ὀλυμπιάδων ιε̄, ὅτε ἐβασιλεύετο ὁ Βόσπορος Κότυϊ τῷ Βοσποριανῷ βασιλεῖ, ᾧ καὶ διάδημα ἐκέλευσε φορεῖν ὁ Καῖσαρ, καὶ τὰς πόλεις αὐτῷ καθυπέταξεν, ἐν αἷς συναριθμεῖ καὶ αὐτὴν Χερσῶνα.* Constant. Porphyrog. them. 2, 12.

XXIII. *Ὀλυμπιεῖον τόπος ἐν Δήλῳ, ὃν κτίσαντες Ἀθηναῖοι χρήμασιν Ἀδριανοῦ Νέας Ἀθήνας Ἀδριανὰς ἐκάλεσαν, ὡς Φλέγων ἐν Ὀλυμπιάδων ιε̄.* Steph. Byz. s. h. v.

Sedis incertae.

XXIV. *Ἔλβονθις πόλις μεταξὺ Αἰγύπτου καὶ Κυρήνης. τὸ ἐθνικὸν Ἐλβονθίτης, ὡς Φλέγων.* Steph. Byz. s. h. v.

XXV. *Μαιάνδρου πόλις Μαγνησίας πόλις, ὡς Φλέγων ἐν Ὀλυμπιάσι.* Steph. Byz. s. h. v.

XXVI. *Μοτιηνὴ χωρίον Ἰβηρίας. ⟨Μοτίνη πόλις*

Ἰταλίας,〉 ἄποικος Ῥωμαίων. *Πολύβιος τρίτῳ. Φλέγων δὲ Μουτίνην αὐτήν φησι.* Steph. Byz. s. h. v.

XXVII. *Πικεντία πόλις Τυρρηνίας. Φλέγων δὲ Πικεντὸν αὐτὴν καλεῖ.* Steph. Byz. s. h. v.

XXVIII. *Τέρινα πόλις Ἰταλίας καὶ ποταμὸς ὁμώνυμος, κτίσμα Κροτωνιατῶν, ὡς Φλέγων.* Steph. Byz. s. h. v.

XXIX. *Ὠστία . . . τὸ ἐθνικὸν δύναται καὶ Ὠστιανὸς καὶ Ὠστιάτης· συνήθης γὰρ ὁ τύπος τοῖς Ἰταλοῖς. Φλέγων δὲ Ὠστίους αὐτοὺς καλεῖ λέγων· παρέλαβε δὲ τὴν Ὠστίων πόλιν.* Steph. Byz. s. h. v.

XXX. *Εἰ δέ τῳ περισπούδαστον ταύτας* (sc. colonias ex Graecia Antiochiam ad Orontem missas) *εἰδέναι, ἱστόρηται περιέργως Στράβωνι τῷ γεογράφῳ, Φλέγοντί τε καὶ Διοδώρῳ τῷ ἐκ Σικελίας κ. τ. λ.* Euagrius hist. eccl. I. 20, p. 275, 21.

XXXI. *Ἀνηγορεύθη Νίκων παγκρατιαστὴς Ἀνθηδόνιος.* Steph. Byz. s. v. *Ἀνθηδών.* 'Sunt fortasse Phlegontis Tralliani verba' Meineke.

XXXII. *Διὸς μήνυμα δι' Ἑρμοῦ, ὅναρ διὰ χρησμοῦ Ἀπόλλωνος*

Ἀντιόχῳ βασιλῆι τάδε χρᾷ Φοῖβος Ἀπόλλων,
κτιζέμεναι πτολίεθρον ἀγακλεές, ὡς ἐκέλευσεν
Ζεὺς ὑψιβρεμέτης, πέμψας ἐριούνιον Ἑρμῆν.

Steph. Byz. s. v. *Λαοδίκεια.* 'Oraculum hoc ut pleraque quae Stephanus affert e Phlegontis Tralliani Chronicis petiisse videtur. cf. Photii bibl. p. 84, 40' Meineke.

Ex scripto incerto.

Ac ne quis mihi Aegyptiorum irascatur et meum esse credat quod in litteras rettuli, Hadriani epistulam ⟨p⟩romam ex libris Phlegontis liberti eius proditam, ex qua penitus Aegyptiorum vita detegitur.

„Hadrianus Augustus Serviano consuli salutem.

Aegyptum, quam mihi laudabas, Serviane carissime, totam didici levem pendulam et ad omnia famae momenta volitantem. illic qui Serapem colunt Christiani sunt et devoti sunt Serapi qui se Christi episcopos dicunt. nemo illic archisynagogus Iudaeorum, nemo Samarites, nemo Christianorum presbyter non mathematicus, non haruspex, non aliptes. ipse ille patriarcha cum Aegyptum venerit, ab aliis Serapidem adorare, ab aliis cogitur Christum. genus hominum seditiosissimum vanissimum iniuriosissimum, civitas opulenta dives fecunda in qua nemo vivat otiosus. alii vitrum conflant, aliis charta conficitur, alii linifiones, omnes certe cuiuscumque artis et videntur et habentur. podagrosi quod agant habent, habent caeci quod faciant, ne chiragrici quidem aput eos otiosi vivunt. unus illis deus nummus est. hunc Christiani, hunc Iudaei, hunc omnes venerantur et gentes. et utinam melius esset morata civitas, digna profecto quae pro sui fecunditate, quae pro sui magnitudine totius Aegypti teneat principatum. huic ego cuncta concessi, vetera privilegia reddidi, nova sic addidi ut praesenti gratias agerent. denique ut primum inde discessi, et in filium meum Verum multa

dixerunt, et de Antinoo quae dixerint, comperisse te credo. nihil illis opto, nisi ut suis pullis alantur, quos quemadmodum fecundant, pudet dicere. calices tibi allassontes [versicolores] transmisi, quos mihi sacerdos templi obtulit, tibi et sorori meae specialiter dedicatos; quos tu velim festis diebus conviviis adhibeas. caveas tamen, ne his Africanus noster indulgenter utatur.“ Flavius Vopiscus Saturnin. c. 7, 6—8, 10.

4. versicolores glossema est vocis allassontes: utramque vocem nostra lingua interpretamur = schillernd.

PARADOXOGRAPHVS VATICANVS ROHDII.

I. *Ἀγησίας ὁ Μεγαρεὺς τὰς γεράνους φησίν, ὅταν ἐκ τῆς Θρᾴκης ἀπαίρειν μέλλωσιν, ὑπὸ μιᾶς περιρραίνεσθαι κύκλῳ πάσας· εἶθ' ὅταν βοήσῃ ἐκείνη, τὰς μὲν ἐξαίρειν καθαπερεὶ κελευστοῦ παραγγείλαντος, τὴν δ' ἀγνίσασαν καταμένειν αὐτοῦ. ὅταν δὲ τὸ πέλαγος διαπεραιῶνται, δύο μὲν ἐκτείνειν τὰς πτέρυγας, τὴν δὲ γενομένην ὑπόκοπον ἐπὶ τούτων ἐφίζουσαν ἀναπαύεσθαι.*

II. *Ἀλιέων φησὶν ἐν τῇ πρώτῃ τῶν Αἰθιοπικῶν ἐν τῇ Αἰθιοπίᾳ θηρίον γίνεσθαι κρ⟨οκ⟩όταν καλούμενον· τοῦτο ἐρχόμενον πρὸς τὰς ἐπαύλεις κατακούειν τῶν λαλουμένων καὶ μάλιστα τὰ ὀνόματα τῶν παιδίων * νυκτὸς δὲ ἐρχόμενον λαλεῖ τὰ ὀνόματα καὶ ἐξερχόμενα τὰ παιδία καταβιβρώσκονται ὑπ' αὐτοῦ.*

III. *Πολίτης τὴν πηλαμύδα ἐν τῷ Πόντῳ ἐκ πηλοῦ γίνεσθαί φησι· διὸ καὶ ταύτης τυχεῖν τῆς πρυσηγορίας λέγει.*

IV. *Ἀριστοτέλης φησὶν ἐν τοῖς περὶ ζῴων τὰ*

9. *Δείνων*? | 13. 'intercidit *τηρεῖν* vel *ἐκμανθάνειν* vel eiusmodi quid' Rohde. — *ἐρχόμενος* cod., corr. R. | 16. *πηλαμίδα* cod., corr. R.

χερσαῖα πάντα ἀναπνεῖν ὅσα πνεύμονα ἔχει, σφῆκα δὲ καὶ μέλισσαν οὐκ ἀναπνεῖν.

V. Ὅσα τε κύστιν ἔχει, πάντα καὶ κοιλίαν, οὐχ ὅσα δὲ κοιλίαν, καὶ κύστιν.

VI. Ἄναιμα πολλὰ τῶν ζῴων, ὅσα πλείους πόδας ἔχουσι τῶν τεσσάρων.

VII. Οἱ ἰχθύες οὐκ ἔχουσι στόμαχον· διὸ καὶ ὅταν διώκηται ἐλάττων ὑπὸ μείζονος, ἄγει τὴν κοιλίαν ὑπὸ τὸ στόμα.

VIII. Οἱ ὄφεις πλευρὰς ἔχουσι τριάκοντα· καὶ τὰ ὄμματα αὐτῶν εἴ τις ἐκκεντήσαι, πάλιν γίνεται, καθὰ καὶ τὰ τῶν χελιδόνων.

IX. Τοῦ λέοντος τὰ ὀστᾶ οὕτως εἰσὶ στερεά, ὥστε πολλάκις κοπτομένων πῦρ ἐκλάμπειν.

X. Πολύκλειτος χελώνας γίνεσθαί φησιν ἐν τῷ Γάγγῃ, ὧν τὸ χελώνιον μεδίμνους χωρεῖν πέντε· ὁ Ἀγαθαρχίδης δὲ τοῖς χελωνίοις χρῆσθαι ... ὡς ὀροφώμασι τῶν καλυβῶν.

XI. Ὁ Σκάμανδρος ξανθὰς ποιεῖ τὰς τρίχας· ὅθεν καὶ Ξάνθος παρ' Ὁμήρῳ προσηγορεύθη.

XII. Ἀντίγονος τὸ [ἓν] ἐν Ἱεραπόλει θερμὸν ὕδωρ πάντα ἀπολιθοῦν φησι, καὶ αὐτὸ δὴ πήσσεσθαι καὶ λίθον γίνεσθαι.

XIII. Θεόπομπος ἐν Λυγκησταῖς φησιν εἶναι ὕδωρ ὀξύ, ὃ τοὺς πίνοντας μεθύσκει.

XIV. Ἡρακλείδης φησὶ τὴν ἐν Σαυρομάταις λίμνην οὐδὲν τῶν ὀρνέων ὑπεραίρειν, τὸ δὲ προσ-

1. σφῆκαν cod. | 16. σάγγει cod., corr. R. — μέδιμνα cod., corr. R. | 17. πλείοις cod., Πρασίους R. Ταπροβανίους? | 22. αὐτὸς ... λίθος cod., corr. R. | 24. λυγγισταῖς cod., corr. R.

ελθὸν ὑπὸ τῆς ὀσμῆς τελευτᾶν· ὃ δὴ καὶ περὶ τὴν Ἄορνιν κατὰ τὴν Ἰταλίαν δοκεῖ γίνεσθαι.

XV. Κατὰ μέρος τι τοῦ κατὰ Προῦσαν Ὀλύμπου ἱστοροῦσι τὴν Δάφνην καταπεπόσθαι διὼκομένην ὑπὸ Ἀπόλλωνος ἐρῶντος, καὶ ἕως τοῦ νῦν πέταλα δάφνης ἐν τοῖς λίθοις ἀναμεμιγμένα ὑρίσκεται.

XVI. Ἔν τινι κατὰ τὸν Ὄλυμπον ... δένδρα ἐστὶν ἰτέᾳ λεπτοφύλλῳ ἐοικότα, ἃ παρθένους γεγενῆσθαι ἱστοροῦσιν, εἰς δὲ δένδρα ταύτας ἀμειφθῆναι τὸν Βορρᾶν φευγούσας ἐρῶντα. καὶ νῦν ἔτι εἴ τις θίγοι τῶν φύλλων τούτων, χολοῦσθαι τὸν ἄνεμον λέγουσι καὶ σφόδρα αὐτίκα πνεῖν, καὶ μόλις διὰ τρίτης παύεσθαι.

XVII. Νέστος ποταμὸς ἐν Θρᾴκῃ τὰς μοιχευομένας ἐλέγχει, τῶν ἀνδρῶν ποτιζόντων ἀπὸ τοῦ ὕδατος τούτου καὶ λεγόντων· εἰ μὲν οὐκ ἐμοιχεύθης, ἄρρεν τέκοι⟨ς⟩, εἰ δ' οὖν, θῆλυ.

XVIII. Καὶ παρὰ Γερμανοῖς ὁ Ῥῆνος ἐλέγχει· ἐμβληθὲν γὰρ τὸ παιδίον εἰ μὲν μοιχευθείσης ἐστί, θνήσκει, εἰ δ' οὖν, ζῇ.

XIX. Πέρινθος ποταμὸς ἐν Θρᾴκῃ, ὅθεν καὶ Πέρινθος ἡ πόλις· ἐκ τούτου εἰ πίοι τις, τὰ σπλάγχνα ἐξογκοῦται. ἡ δ' αἰτία, ὅτι σταγόνες ἐκ τῆς κεφαλῆς Γοργόνος ἐν τούτῳ ἐρρύησαν βασταζομένης ὑπὸ Περσέως.

XX. Ἐν Κελαιναῖς τῆς Φρυγίας ποταμός ἐστι Μαρσύας· οὗτος ἢν μὲν αὐλοῦ ἀκούσῃ, βομβεῖ μέγα,

10. ἱστοροῦσι// cod. ἱστοροῦσι καὶ R. | 15. μέστος cod., corr. R. | 18. τέκοι cod., corr. R. | 28. εἰ cod. nos corr.

ἦν δὲ κιθάρας, μετὰ σιγῆς ῥεῖ, ἀποπνιγέντος ἐν αὐτῷ Μαρσύου τοῦ αὐλητοῦ.

XXI. Ταυρομένιος ποταμός ἐστιν ἐν Σικελίᾳ παρὰ τὴν ὁμώνυμον πόλιν· οὗτος βροντῆς ἀκούων φοβεῖται καὶ καταδύεται εἰς τὴν γῆν, ἐὰν δὲ παύσηται ἡ βροντή, πάλιν ἄνεισιν ἐκ τῆς γῆς καθάπερ πηγή.

XXII. Ποταμὸς Ψύχρος ὄνομα διὰ τῆς Σικελίας ῥεῖ· οὗτος τοῦ μὲν θέρους ἰλυώδες ἔχει ὕδωρ, τοῦ δὲ χειμῶνος καλόν τε καὶ διαυγές.

XXIII. Ἐν Λυγκησταῖς κρήνη ἐστίν, ἀφ' ἧς ἐάν τις πίῃ, μεθύσκεται.

XXIV. Κατὰ τὴν Αἴγυπτον ἀνδριὰς ἵσταται Μέμνονος, ὃς ἀνατέλλοντος τοῦ ἡλίου ᾄδει οἱονεὶ προσαγορεύων αὐτόν.

XXV. Οἱ Κελτοί, ὅταν ἡ ἀφορία ἢ λ⟨ο⟩ιμὸς γένηται, τὰς γυναῖκας αὐτῶν κολάζουσιν ὡς αἰτίας τῶν κακῶν.

XXVI. Παρὰ τοῖς Ἴβηρσιν ἔθος ἐστὶν ἐν ἑορτῇ τινι τὰς γυναῖκας τιμᾶν δώροις, ὅσαι ἂν πλεῖστα καὶ κάλλιστα ἱμάτια ὑφήνασαι τότε ἐπιδείξωσιν.

XXVII. Παρὰ Κροβύζοις ἔθος ἐστὶ τὸ μὲν γεννώμενον βρέφος θρηνεῖν, τὸν δὲ θανόντα εὐδαιμονίζειν.

XXVIII. Παρὰ Νασαμῶσι τοῖς ἐν Λιβύῃ νόμος ἐστὶ τὴν γαμουμένην τῇ πρώτῃ ἡμέρᾳ συγγίνεσθαι

8. ψυχρὸς cod., Ψύχρος R. | 9. ἡλιῶδες cod., corr. Nauck. | 11. λυκισταῖς cod., corr. R. | 16. ἡ ἀφ. ἢ λιμὸς γίνηται cod., corr. N. et nos. | 21. κάλλιστα cod., μάλιστα R. per errorem.

πᾶσι τοῖς παροῦσι καὶ παρ' αὐτῶν δῶρα λαμβάνειν καὶ μετὰ τοῦτο τῷ γήμαντι μόνῳ μίγνυσθαι.

XXIX. *Αἱ τῶν Σαυροματῶν γυναῖκες οὐ πρότερον γαμοῦνται, ἂν μὴ ἄνδρα κτείνωσι πολέμιον.*

XXX. *Πέρσαι τοῖς οἰκείοις κυσὶ βορὰν ... τοῖς πλουσίοις καὶ ἐνδόξοις τιθέασιν.*

XXXI. *Φερεκύδης ὁ Σύριος ἀπό τινος ἐν Σύρῳ τῇ νήσῳ * ὕδωρ πιὼν μαντικώτατος γέγονε καί τινα προεμήνυσε, σεισμοὺς καὶ ἄλλα.*

XXXII. *Τειρεσίας* ⟨ὁ⟩ *Εὐήρου δύο δράκοντας μιγνυμένους θεασάμενος κτείνει αὐτοὺς καὶ αὐτίκα γυνὴ γίνεται, μετ' οὐ πολὺ δὲ ἀνήρ, καὶ δικαστὴς ἡδονῆς γυναικὸς καὶ ἀνδρὸς τῆς ἐν τῇ μίξει παραλαμβάνεται πρὸς Διὸς καὶ Ἥρας· καὶ πλείονα λέγει τὴν τῆς γυναικός.*

XXXIII. *Παρ' Ὁμήρῳ Πρωτεὺς εἰς πάντα μετεμορφοῦτο, καθὰ Θέτις παρὰ Πινδάρῳ καὶ Νηρεὺς παρὰ Στησιχόρῳ καὶ Μῆστρα.*

